# ΝΕΟΣ ΕΛΛΗΝΟΜΝΗΜΩΝ

ΠΕΡΙΟΔΙΚΟΝ ΣΥΓΓΡΑΜΜΑ ΣΥΝΤΑΣΣΟΜΕΝΟΝ ΚΑΙ ΕΚΔΙΔΟΜΕΝΟΝ

ΥΠΟ

ΣΠΥΡ. Π. ΛΑΜΠΡΟΥ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

6

1909

ΦΩΤΟΤΥΠΙΚΗ ΑΝΑΤΥΠΩΣΙΣ * 1969 * RÉIMPRESSION ANASTATIQUE

ΕΚΔΟΣΕΙΣ — ÉDITIONS

ΒΑΣ. Ν. ΓΡΗΓΟΡΙΑΔΗΣ ★ BAS. N. GRÉGORIADÈS

Ε.Υ.Δ της Κ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# ΝΕΟΣ ΕΛΛΗΝΟΜΝΗΜΩΝ

## ΤΡΙΜΗΝΙΑΙΟΝ ΠΕΡΙΟΔΙΚΟΝ ΣΥΓΓΡΑΜΜΑ

ΣΥΝΤΑΣΣΟΜΕΝΟΝ ΚΑΙ ΕΚΔΙΔΟΜΕΝΟΝ

ΥΠΟ

ΣΠΥΡ. Π. ΛΑΜΠΡΟΥ

ΚΑΘΗΓΗΤΟΥ ΤΗΣ ΙΣΤΟΡΙΑΣ ΕΝ ΤΩΙ ΑΘΗΝΗΣΙ ΠΑΝΕΠΙΣΤΗΜΙΩΙ

*Ἠξιώθη τοῦ Ζαππείου βραβείου ὑπὸ τοῦ ἐν Παρισίοις Συλλόγου πρὸς διάδοσιν τῶν ἑλληνικῶν γραμμάτων.*

ΤΟΜΟΣ ΕΚΤΟΣ

ΑΘΗΝΗΣΙΝ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ Π. Δ. ΣΑΚΕΛΛΑΡΙΟΥ

1909

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ΦΩΤΟΤΥΠΙΚΗ ΑΝΑΤΥΠΩΣΙΣ · 1969 · RÉIMPRESSION ANASTATIQUE

ΒΑΣ. Ν. ΓΡΗΓΟΡΙΑΔΗΣ * BAS. N. GRÉGORIADÈS

ΟΔΟΣ ΦΕΙΔΙΟΥ 2 - ΑΘΗΝΑΙ (142) 2, RUE PHIDIAS - ATHÈNES (142)

# ΝΕΟΣ ΕΛΛΗΝΟΜΝΗΜΩΝ

ΤΟΜΟΣ Ϛ' — 31 Μαρτίου 1909. — ΤΕΥΧΟΣ Α'.


## ΜΙΧΑΗΛ ΑΚΟΜΙΝΑΤΟΥ

### ΑΝΕΚΔΟΤΟΣ ΚΑΤΗΧΗΤΙΚΗ ΟΜΙΛΙΑ

Ὅτε τῷ 1879 καὶ 1880 ἐξέδιδον κατὰ τοὺς ἐν Φλωρεντίᾳ, Ὀξωνίῳ, Παρισίοις καὶ Βιέννῃ κώδικας «Μιχαὴλ Ἀκομινάτου τοῦ Χωνιάτου τὰ σωζόμενα», ἐφαίνετο, ὅτι ἡ ἔκδοσις ἐκείνη περιελάμβανε πάντα τὰ μέχρις ἡμῶν περισωθέντα ἔργα τοῦ περιωνύμου μητροπολίτου τῶν Ἀθηνῶν, διότι καὶ δὲν εἶχον ἀμελήσει νἀντιγράψω ἢ ἀντιβάλω ἅπαντας τοὺς μέχρις ἐκείνου τοῦ χρόνου γνωστοὺς κώδικας τοὺς περιέχοντας συγγραφὰς αὐτοῦ. Ἀλλ' ἔκτοτε οὐ μόνον τινὰ ὀλίγα τῶν ὑπ' ἐμοῦ ἐκδεδομένων ἀνευρέθησαν καὶ ἐν ἄλλοις κώδιξιν, ἀλλὰ καὶ νέαι συγγραφαὶ τοῦ Ἀκομινάτου ἐγνώσθησαν, τινὲς δὲ καὶ ἐξεδόθησαν. Καὶ πρῶτος μὲν ἐξέδωκε βραχὺν μετὰ τὴν ἐμὴν ἔκδοσιν χρόνον ὁ κ. Β. Γεωργιάδης, ὁ κατόπιν Βάρνης Βασίλειος, ἐκ κώδικος τῆς Ἐμπορικῆς Σχολῆς Χάλκης Λόγον τοῦ Ἀκομινάτου εἰς τὴν τριήμερον ταφὴν τοῦ Χριστοῦ[1]. Εἶτα δ' ἐξέδωκε τῷ 1902 ὁ κ. Ἀθανάσιος Παπαδόπουλος Κεραμεὺς ἐκ τοῦ κώδικος 250 τῆς δημοσίας Αὐτοκρατορικῆς βιβλιοθήκης τῆς Πετρουπόλεως ὀλιγόστιχον ποίημα πρὸς τὴν Θεοτόκον, ὅπερ ὀρθῶς προσέγραψεν εἰς τὸν Ἀκομινᾶτον[2]. Ἀνετύπωσα δὲ

[1] Μιχαὴλ Ἀκομινάτου καὶ Γεωργίου Βούρτζου μητροπολιτῶν Ἀθηνῶν Λόγοι. Ἐν Ἀθήναις 1882.

[2] Ἐν τῷ περιοδικῷ Ἁρμονίᾳ Τόμ. Γ' (1902) σ. 284. Πρβλ. ***Σπυρ. Π. Λάμπρου*** μετάφρ. ***Γρηγοροβίου*** Ἱστορίας τῆς πόλεως Ἀθηνῶν. Τόμ. Α'. σ. 285 κ. ἑ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Γ. Δίτης κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τοῦτο κἀγώ, προσθεὶς καὶ ἕτερα τέσσαρα ἀνέκδοτα στιχουργήματα τοῦ μητροπολίτου τῶν Ἀθηνῶν, ἐν μὲν ἐκ τοῦ κώδικος 437 τῆς Συνοδικῆς βιβλιοθήκης Μόσχας, τὰ δὲ λοιπὰ τρία ἐκ τοῦ ὑπ' ἀρ. 59 Ὀττοβονιανοῦ κώδικος τῆς βιβλιοθήκης τοῦ Βατικανοῦ, περιέχοντος καὶ ἐννέα ἕτερα τῶν ἤδη πρότερον ὑπ' ἐμοῦ ἐκδεδομένων, ἅτιν' ἀντέβαλον πρὸς τὸν νέον τοῦτον κώδικα[1].

Ὁμοίως δ' ἐξέδωκα τῷ 1904 καὶ δύο νέας κατηχητικὰς ὁμιλίας τοῦ Ἀκομινάτου, τὴν ὀγδόην καὶ τὴν εἰκοστὴν ἕκτην ἐκ τοῦ κώδικος 218 (230) τῆς ἐν Μόσχᾳ Συνοδικῆς βιβλιοθήκης[2], περὶ οὗ ἴδε ὅσα ἔγραψα ἐν τῇ ἐμῇ μεταφράσει τῆς τοῦ Γρηγοροβίου Ἱστορίας τῆς πόλεως Ἀθηνῶν κατὰ τοὺς μέσους αἰῶνας[3].

Ὀλίγον δὲ μόνον χρόνον μετὰ τὴν ἔκδοσιν τῶν δύο ἐκείνων κατηχήσεων ἔλαβον γνῶσιν τῆς ἐν ἔτει 1901 ὑπὸ τοῦ Ῥώσου ἐπισκόπου Ἀρσενίου γενομένης ἐν Νοβγορὸδ ἐκδόσεως τεσσάρων κατηχήσεων τοῦ Ἀκομινάτου ἐκ τοῦ αὐτοῦ κώδικος τῆς Μόσχας, τῆς πέμπτης, τῆς ὀγδόης, τῆς ἐνάτης καὶ τῆς ἐννεακαιδεκάτης. Κατὰ ταῦτα ἡ ὑπ' ἐμοῦ ἐκδοθεῖσα ὀγδόη ἦτο προεκδεδομένη ὑπὸ τοῦ Ἀρσενίου. Καὶ ἐφρόντισε μὲν ὁ μετ' οὐ πολὺ ἀποθανὼν Ῥῶσος ἐπίσκοπος νὰ συνοδεύσῃ τὴν ἔκδοσιν τοῦ ἑλληνικοῦ κειμένου τῶν κατηχήσεων ἐκείνων διὰ ῥωσικῆς μεταφράσεως καὶ παραπομπῶν εἰς τοὺς ἐκκλησιαστικοὺς καὶ τοὺς θύραθεν συγγραφεῖς, ὧν χωρία ἀπαντῶσι παρὰ τῷ Ἀκομινάτῳ· ἀλλ' οὐχ ἧττον ἡ ἔκδοσις αὐτοῦ δὲν ἦτο κριτική. Οὐ μόνον δὲν ἀντέβαλε καὶ τὸν ἕτερον κώδικα τῆς αὐτῆς Συνοδικῆς βιβλιοθήκης τῆς Μόσχας, τὸν ὑπ' ἀρ. 219 (262) ἐν ᾧ ὁμοίως περιλαμβάνονται αἱ ἄνω κατηχήσεις, ἀλλ οὐδὲ τοῦ μόνου κώ-

[1] ***Σπυρ. Π. Λάμπρου*** Ἱστορία τῆς πόλεως Ἀθηνῶν κατὰ τοὺς μέσους αἰῶνας ὑπὸ Φερδ. Γρηγοροβίου. Ἐν Ἀθήναις. 1904. Τόμ. Β', σ. 662 κ. ἑ., 726 κ. ἑ.

[2] Αὐτόθι σ. 677 - 725.

[3] Αὐτόθι σ. 660 κ. ἑ.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

δικος, ἐξ οὗ ἀντέγραψε τὰς κατηχήσεις ἐκείνας, ἐφρόντισε νὰ παραθέσῃ τὰς διαφόρους γραφάς. Κἀγὼ δέ, ἐκδίδων τὴν ὀγδόην καὶ τὴν εἰκοστὴν ἕκτην κατήχησιν, εἶχον ὑπ᾽ ὄψιν μόνον τὸν ἕτερον τῶν κωδίκων, τὸν ὑπ᾽ ἀριθ. 218, οὗ παρέθηκα τὰς διαφόρους γραφάς· ἕνεκα δὲ τούτου τοῦ λόγου καὶ τῆς ἀνεπαρκείας τῶν φωτογραφιῶν, ἐξ ὧν ἔγεινεν ἡ ἐμὴ ἔκδοσις, αὕτη δεῖται ἀναθεωρήσεως.

Ἀλλ᾽ ἔκτοτε ηὐτύχησα νὰ μελετήσω ἀμφοτέρους τοὺς κώδικας τῷ 1906 ἐν τῇ Ἐθνικῇ βιβλιοθήκῃ Παρισίων, ὅπου μοι ἐστάλησαν ἐκ Μόσχας κατ᾽ ἐξαιρετικὴν ὅλως συγκατάβασιν· κέκτημαι δὲ καὶ ἀξιολογωτάτας φωτογραφίας τῶν κωδίκων τούτων, ἐξ ὧν μέλλω προσεχῶς νὰ ἐκδώσω εἰς δύο τόμους τὸ ὅλον τῶν ἀνεκδότων κατηχήσεων τοῦ Ἀκομινάτου. Ὡς πρόδρομον δὲ τῆς ἐκδόσεως ταύτης παρέχω εἰς τοὺς ἀναγνώστας τοῦ Νέου Ἑλληνομνήμονος τὴν δεκάτην τετάρτην τῶν κατηχήσεων, ἥτις περιλαμβάνεται ἐν μὲν τῷ κώδικι 218 (Μ), γεγραμμένῳ τὸν δέκατον τέταρτον αἰῶνα, ἐν φ. 139α - 150α, ἐν δὲ τῷ κώδικι 219 (μ), ὅστις ἐγράφη τελευτῶντος τοῦ δεκάτου ἕκτου αἰῶνος, ἐν φ. 184α - 204β.

## Κατήχησις ιδ΄.

Ἡλίου δὲ ἄρα τράπεζαν ὀνομάζουσι μὲν Αἰθίοπες καὶ κομπάζουσιν· οὐ γὰρ ἐγκλητέον οἶμαι παρὰ τοῦ προφητικοῦ πνεύματος ὡς τοῖς στελλομένοις ἐπ᾽ Αἴγυπτον τοῦ πιεῖν ὕδωρ Γειῶν ἢ ἐπ᾽ Ἀσσυρίους τοῦ πιεῖν ὕδωρ ποταμῶν, οὕτω καὶ τῷ λόγῳ μοι βαίνοντι ἐς Ὠκεανὸν μετ᾽ ἀμύμονας Αἰθιοπῆας μετὰ δαῖτα τὴν ἡλίῳ ἐπώνυμον. Ἀποστολικὸν γὰρ οἶδα τὸ καθαιρεῖν πᾶν ὕψωμα καὶ αἰχμαλωτίζειν πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ, εἴπερ καὶ Παῦλος ὁ σοφὸς νῦν μὲν ὡς ἐξ ὑπερδεξίου ὁρμητηρίου τοῦ ἐπιγεγραμμένου Θεῷ ἀγνώ-

1. ἄρα Μ: ἆρα μ  2. ἐγκλητέον Μ: ἐγκληκτέον μ  3. ἐπ᾽ ἀσσυρίους Μ: ἐπασσυρίους μ  4. βαίνοντι Μ: βαίνον μ  5. μετ᾽ ἀμύμονας αἰθιοπῆας Μ: μεταμύμονας αἰθιοπίας μ.  δαῖτα Μ: δαιτα μ  6. γὰρ Μ: λείπει μ  8. ἐξ ὑπερδεξίου Μ: ὑπερ ἐξυπερδεξίου μ

στῷ βωμοῦ τῷ Ἀρείῳ πάγῳ προςέβαλε καὶ τῶν φαινομένων Ἀράτου πολλοῖς ἀκροβολιζόμενος οὐ πρότερον ἔληξεν, ἕως τὸ ἐκείνου καθεῖλεν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ θεοῦ, ὡς ἀγνώστου δῆλον ὅτι πάντη καὶ τὰ κάλλιστα τῶν ἐν αὐτῷ λάφυρα φέρων κατῆλθεν ἐκεῖθεν. Νῦν δὲ Κρῆτας ἐντρέπων τὸν σοφὸν Ἐπιμενίδην προςάγεται σύμμαχον, οἷς ἐκεῖνος βάλλων δριμύτερον Κρῆτες, φησίν, ἀεὶ ψεῦσται, κακὰ θηρία, γαστέρες ἀργαί. Μήποτε δὲ οὐκ ἀποστολικὸν εἴη μόνον, ἀλλ' ἤδη που καὶ προφητικὸν τὸ τὰ τῶν ἀλλοφύλλων ἐπ' οἰκοδομῇ τῶν τοῦ θεοῦ διδασκαλικῶς ληΐζεσθαι. Ἵνα γὰρ μὴ λέγοιμι σκεύη χρυσᾶ καὶ ἀργυρᾶ Αἰγυπτίων ὑφαιρούμενά τε παρὰ τῶν Ἰσραηλιτῶν καὶ τῇ σκηνῇ τοῦ θεοῦ εἰς ὑλικὸν ὑποκείμενον συμβαλλόμενα, Διέλθετέ φησιν εἰς νήσους Χεττιεὶμ καὶ ἴδετε καὶ εἰς Κηδὰρ ἀποστείλατε καὶ νοήσατε σφόδρα καὶ ἴδετε. Οὔκουν οὐδ' ἡμεῖς ὑπερόρια σοφίας ἀποστολικῆς καὶ προφητικῆς πλανώμεθα, εἰ ἐπ' Αἰθιοπίαν τῷ λόγῳ στελλόμεθα, οὐκ ἀγώγιμά τινα κομιοῦντες ἐκεῖθεν ἀρωματώδη καὶ ὁποῖα βασίλισσα νότου τῷ βασιλεῖ Σολομῶντι προςήνεγκεν, οὔτε μὴν Νειλώων πηγῶν καὶ καταρρακτῶν λόγους τινὰς ἀρυσσόμενοι, τὴν δὲ παρ' ἐκείνοις κομψευομένην τράπεζαν τῇ καθ' ἡμᾶς ἀντιπαρεξετάσοντες, ἣν Ἡλίου μέν, ὡς ἔφαμεν ἀρχόμενοι, τερατεύονται, ὡς τάχα ἡλίου ἀνιόντος αὐτομάτῳ φορᾷ τῆς γῆς ἀναδιδομένην, σίτου καὶ οἴνου καὶ κρεῶν πλήθουσαν, τῷ ὄντι δὲ παρὰ τῶν ἐν τέλει πρὸ τῶν ἀκτίνων ἡλίου παρασκευαζομένην καὶ προτιθεμένην ἑτοίμην τοῖς δαιτυμόσιν Αἰθίοψι. Πόσῳ δ' ἂν γλαφυρώτερον ἡμεῖς καὶ κομψότερον,

1. βωμοῦ Μ: βομοῦ μ   ἀρείω πάγω Μ: ἀρίω πάγει μ   3-4. δῆλον ὅτι μ: δηλονότι δηλονότι Μ   4. ἐν αὐτῷ Μ: ἑαυτοῦ μ   5. σοφὸν Μ: σοφὸν μὲν μ   6. ψεῦσται Μ: ψεύσται μ   8. ἐπ' οἰκοδομῇ τῶν ἔγραψα: ἐποικοδομῆ τῶν Μ: ἐποικοδομησῶν μ   9. λέγοιμι Μ: λέγειμι μ   10. ἀργυρᾶ Μ: ἀργυρὰ μ   11. σκηνῇ Μ: σκηνὴ μ   ὑλικὸν Μ: ὕλικὸν μ   11-12. διέλθετέ φησιν Μ: διέλθετε φησὶν μ   12. νήσους Μ: νῆσους μ   ἀποστείλατε Μ: ἀποστέλλεται μ   14. ἐπ' ἔγραψα: ἀπ Μμ   αἰθιοπίαν Μ: αἰθιοπίαν κατὰ διόρθωσιν τοῦ τὸ πρῶτον γραφέντος αἰθιοπείαν μ   15. ἀγώγιμά τινα μετὰ κενοῦ ὡςεὶ τεσσάρων γραμμάτων μεταξὺ τῶν δύο λέξεων Μ: αγώημα τινὰ μ   16. προςήνεγκεν Μ: προσήνεγγεν μ   17. ἀρυσσόμενοι ἔγραψα: ἀρρυσσόμενοι Μμ   18. ἡμᾶς Μ: ὑμᾶς μ   20. ἀναδιδομένην ἔγραψα: ἀναδιδομένων Μμ   21. δὲ Μ: λείπει μ   22-23. δαιτυμόσιν Μ: δαιτυμῶσιν μ   23. αἰθίοψι Μ: αἰθίοψιν μ   πόσῳ Μ: πόσον μ   γλαφυρώτερον Μ: γλαφυρότερον μ

Ε.Υ.Δ της ΚΕΓ
ΙΩΑΝΝΙΝΑ 2006

εἴτ' οὖν ἐναργέστερον νομίζοιμεν καὶ καλοίημεν τοῦ τῆς δικαιοσύνης ἡλίου τράπεζαν τὴν ψυχοτρόφον ἐγκράτειαν, οὐχ ὅπως ὡς μετὰ τὴν νύκτερον μὲν καὶ σκότιον τρυφήν· νὺξ γάρ φησι φωτισμὸς ἐν τῇ τρυφῇ μου· παραφερομένην ἐκ περιτροπῆς τῶν ὡρῶν αὐτόματον, πρὸ δὲ τῆς ἐκ τάφου δεσποτικῆς ἀνατολῆς παρασκευαζομένην, ἀλλά γε καὶ ὡς ὄντως παρ' αὐτοῦ τοῦ τῆς δικαιοσύνης ἡλίου παρατιθεμένην ἡμῖν ἐξ ἐναντίας τῶν θλιβόντων ἡμᾶς, ὡς ὁ θεῖος Δαυὶδ πού φησιν. Οὐδὲν γὰρ οὕτως τοῖς θλίβουσιν ἡμᾶς δαίμοσιν ἢ πάθεσιν ἀντίθετον ὡς ἐγκράτεια. Εἰ δὲ ἥλιον μὲν ὀνομάζοι τις ὅλον τὸν ἡμερινὸν τῆς νηστείας καιρὸν ὡς κώμοις καὶ μέθαις καὶ κοίταις ἀσελγέσι καὶ λοιποῖς ἔργοις τοῦ σκότους ἀνθιστάμενον, τοῦ δὲ τοιοῦδε ἡλίου τράπεζαν τὴν ἡμετέραν ταυτηνὶ διάλεξιν, ἅτε πρὸ τῶν ἀκτίνων μὲν αὐτῆς πρὸς ἡμῶν παρασκευαζομένην, ἤδη δὲ ἀνισχούσης παραφερομένην ὑμῖν, ἀγαπῴην ἄν, μᾶλλον δ' ἂν τοῦ παντὸς πριαίμην, εἴ τί που καὶ παρ' ἡμῶν ἡλιῶδες ἢ ἐπώνυμον ἡλίῳ παρασκευάζοιτο τρόφιμον. Πλὴν ὁποτέρως ἂν ἐκληπτέον ἐστίν, ὡς εἰς καιρόν, ὦ ἐμοὶ δαιτυμόνες, πάρεστε δεῦρο συντεταγμένοι καὶ πρόθυμοι. Νῦν γὰρ ὁ ἥλιος τῆς δικαιοσύνης, τουτέστιν ἡ θεία σοφία, ὅσα καὶ στύλοις ἑπτὰ ταῖς ἑπταρίθμοις ἑβδομάσι τῆς ἐγκρατείας ὑπερείδουσα τὸν ἑαυτῆς οἶκον, ἧς ὁ οἶκός ἐσμεν ἡμεῖς, ἐποικοδομούμενοι ἐν αὐτῇ καὶ παρ' αὐτῆς, σφάττει μὲν ἄθυτα καὶ ὅ φασιν ἄκαπνα θύματα, κίρνησι δὲ κατανύξεως οἶνον ἐπὶ κρατῆρα νηφάλιον, συγκαλεῖται δὲ ὑψηλῷ κηρύγματι πάντας ἐπὶ τὴν ἑαυτῆς ἀληθῶς ἡλιόεσσαν τράπεζαν. Ὅτι δὲ καταλλήλως τοῦ ἡλίου τῆς δικαιοσύνης τράπεζα εἴρηταί τε καὶ ἐστὶν ἡ ἐγκράτεια ὡς ἀτμὶς τῆς ἐκείνου δυνάμεως εἴτε εἰλικρινὴς ἀπόρροια, ὧδε ἂν θεωρήσαιμεν. Ἀλλὰ προσέχετέ μοι τὸν νοῦν καὶ ὡς ἄξιοι

1. καλοίημεν Μ: καταλοίημεν μ 3. γάρ φησι Μ: γὰρ φησὶν μ 4. ὡρῶν Μ: ὡρῶν μ 6. ὡς Μ: λείπει μ 7. ἐξ ἐναντίας ἔγραψα: ἐξεναντίας Μμ πού ἔγραψα: που Μμ 11. λοιποῖς Μ: τοῖς λοιποῖς μ 12. ταυτηνὶ Μ: ταύτην μ 13. πρὸς Μ: πρὸ μ 14. τί ἔγραψα: τὶ Μ: τι μ 16. ἐστὶν Μ: ἐστὶν μ ὡς Μ: λείπει μ ὦ Μ: ὦ μ 17. δαιτυμόνες Μ: δαιτυμῶνες μ συντεταγμένοι καὶ Μ: συντεταμένοις μ 18. τουτέστιν Μ: τοῦτέστιν μ 20. οἶκός ἐσμεν ἔγραψα: οἶκος ἐσμὲν Μμ ἐν Μ: εἰς ἐν μ 21. φασιν Μ: φασι τινὰ μ 24. καταλλήλως Μ: κατ' ἀλλήλως μ τράπεζα Μ: τράπεζαν μ εἴρηταί τε Μ: εἴρηται μ 25. ἀτμὶς Μ: ἀτμῆς μ εἰλικρινὴς Μ: εἰλικρινεῖς μ 26. ὧδε Μ: ὧδε μ καὶ ὡς Μ: ὡς μ

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κτ.Π ΙΩΑΝΝΙΝΑ 2006

τοιᾶσδε τραπέζης νοητῶς νοεῖτε, ὥς φησι Σολομῶν, τὰ παρατιθέμενα ὑμῖν, καὶ ἐπιβάλλετε τὰς χεῖρας ὑμῶν, διχῇ τῆς ἐν μέρει δικαιοσύνης διαιρουμένης καὶ τοῦ μὲν τῶν τμημάτων διανεμητικοῦ τῶν κατ' ἀξίαν ὄντος, τοῦ δὲ ἐπανορθωτικοῦ. Κατ' ἄμφω ταῦτα καὶ ἡ ἐγκράτεια παρὰ πᾶσαν μὲν γεωμετρικὴν ἀναλογίαν σαρκὶ διανέμει τὸ κατ' ἀξίαν καὶ πνεύματι, καὶ τῷ μὲν ἄρχειν δίδωσι, τῷ δ' ἄρχεσθαι, καὶ ψυχὴν μὲν οἷα δέσποιναν θεοειδῆ τοῦ κατ' αὐτὴν ἀξιώματος ἀναμιμνήσκουσα μόναις ταῖς ἀρεταῖς προσανέχειν διορίζεται καὶ πρὸς τὴν ἑαυτῆς ἐπιστράφθαι δι' αὐτῶν εὐγένειαν, σάρκα δὲ ὑπουργεῖν τῇ δεσποίνῃ ταύτῃ καὶ ὡς θεράπαιναν ἀγαθὴν παρέπεσθαι καὶ σῶμα μὲν ὡς παροδικὸν καὶ ῥοῶδες ἐφημέρῳ ἀποχρῆσθαι καὶ σχεδίῳ τροφῇ καὶ μόνον θερμαίνουσι περιβλήμασι, ψυχὴν δὲ τὴν ἀθάνατον δόγμασιν εὐσεβείας ἐνευπαθεῖν ἐκπονεῖσθαί τε τὴν ἀρετὴν καὶ ταῖς ἐλπίσι τοῦ μέλλοντος πρὸς τὰ πάτρια τῶν ἐν οὐρανοῖς πολιτευμάτων ἐπεκτείνεσθαι.

Καὶ ταῦτα μὲν ἀποπληροῖ τῷ ἐντὸς ἀνθρώπῳ καὶ τῷ ἐκτὸς ἡ ἐγκράτεια κατὰ τὸ διανεμητικὸν δίκαιον· ἐπανορθουμένη δὲ καὶ ὡς θεόπεμπτός τις δικάστρια εἴ τι πλημμελεῖται παρ' ἡμῖν ἄδικον πλεονέκτημα, τὸ μὲν ὑπουργικὸν σῶμα ὡς ἐπανιστάμενον τῇ ψυχῇ καὶ διὰ τὸν κόρον ἐξυβρίζον ἀσιτίᾳ ὑποβάλλει καὶ διὰ παντοδαπῆς κακοπαθείας δίκας εἰσπράττει τῆς ὕβρεως, καὶ οἷς παρεβιάζετο τὸ φύσει δεσποτοῦν ὑπηρετεῖν αὐτῷ τυραννοῦντι τὰ πρὸς ἡδονήν, τὸ δὲ κατ' εἰκόνα παρ' ἀξίαν πράττον καὶ δεινὰ πάσχον οὐκέτ' ἀδικεῖσθαι ὅλως ἐᾷ παρὰ τοῦ χείρονος καὶ φύσει δουλεύοντος, δίκας παρ' αὐτοῦ λαμβάνον

1. φησι σολομῶν Μ: φησιν σολομὼν μ   2. ὑμῖν Μ: ἡμῖν μ   4. κατ' ἀξίαν ὄντος Μ: καταξίαν ὄντως μ   καὶ ἡ Μ: ἡ μ   5. γεωμετρικὴν Μ: γεομετρικὴν μ   6. κατ' ἀξίαν Μ: καταξίαν μ   δίδωσι Μ: δίδωσιν μ   7. δέσποινα Μ: δέσποινα κατὰ διόρθωσιν τοῦ τὸ πρῶτον γραφέντος δέσποιναν μ   θεοειδῆ Μ: θεοειδεῖ μ   8. ἀναμιμνήσκουσα Μ: ἀναμιμνήσκουσαν μ   10. θεράπαιναν ἀγαθὴν Μ: θεοάπαιναν (κατὰ διόρθωσιν τοῦ τὸ πρῶτον γραφέντος θεράπαιναν) ἀγαθὴν μ   παρέπεσθαι Μ: παρέπαισθαι μ   11. ἀποχρῆσθαι Μ: ἀποχρεῖσθαι μ   τροφῇ Μ: τροφὴ μ   13. ἐλπίσι Μ: ἐλπίσιν μ   14. ἐπεκτείνεσθαι Μ: ἐπεκτένεσθαι μ   16. κατὰ τὸ Μ: κατατὸ μ   ἐπανορθουμένη Μ: ἐπανορθωμένη μ   19. ἐξυβρίζον ἀσιτίᾳ Μ: ἐξυβρίζων ἀσιτεία μ   20. παρεβιάζετο Μ: παρεβιβάζετο μ   22. πράττον κατὰ διόρθωσιν τοῦ τὸ πρῶτον γραφέντος πράττον Μ: πράττον μ   23. λαμβάνον ἔγραψα: λαμβάνων Μμ

Ε.Υ.Δ της ΚτΠ ΙΩΑΝΝΙΝΑ 2006

ἀξίας ὧν ἠδικεῖτο ἔναγχος ζημιούμενον. Ἀλλὰ ψυχῇ μὲν οὕτω διαιτᾷ καὶ σαρκὶ ἡ ἐγκράτεια· γαστρὶ δὲ καὶ λοιποῖς μέλεσιν ὅπως; διαδικάζονται γὰρ καὶ γαστρὶ τἆλλα πάντα μέλη οὐχ ὡς πάλαι ποτέ, ὅτε διενεκάλουν αὐτῇ ὡς οἰκειουμένῃ μόνῃ τὴν παρ' αὐτῶν ἐκπονουμένην τροφὴν ἑκάστοτε, ἑτέραν δὲ δικαιοτέραν πολλῷ γραφὴν εἰσάγουσι. Πόδες μὲν γὰρ διώκουσι τὴν κατάρατον, καὶ χεῖρες ἐπιλαμβάνονται, ὡς διὰ μαργοσύνην αὐτῆς ἄληκτον ποδάγραις καὶ νόσοις ἀρθρίτισιν ὅσα καὶ ὀργάνοις ἀρθρεμβόλοις στρεβλούμενοι καὶ λατυπούμενοι· κεφαλὴ δ' αὖ καταβοᾶται ταύτης ὡς τοῖς αὐτῆς ἀναδιδομένοις παχυτέροις ἀτμοῖς ἐπισκοτουμένη καὶ πρὸς ὑπνηλοὺς κάρους καθελκομένη καὶ πᾶσαν ἀμβλυνομένη τὴν αἴσθησιν, ἡ που καὶ ὀσφὺς καὶ τὰ γεννητικὰ αἰτιάσονται τὴν τλήμονα ὡς ἐφιεῖσαν τοῖς τῶν ἀφροδισίων ἐρεθισμοῖς κἀκ τοῦ κόρου ταύτης τὴν ὕβριν τῆς φύσεως ἀποβλύζουσαν. Τί λέγω, ὡς πόδες ἀκινητοῦντες ἢ ὑποσκάζοντες γαστρὸς κατατρέχουσι καὶ χεῖρες ἐξηρθρωμέναι τῆς ἀρχεκάκου ἐπιδράττονται; ἡ σύμπασα ἕξις τοῦ σώματος τίνα παρὰ ταύτην αἰτιάσαιτ' ἂν τῶν φθινάδων νόσων καὶ τοῦ λοιποῦ τῶν κακῶν ἑσμοῦ, κἂν καὶ χρῶμα καχεκτικόν τε καὶ ὕπωχρον πλεῖστα κατηγορήσειε καὶ μόνον βλεπόμενον;

Ἀλλὰ σκοπεῖτε ὅπως ἡ τῶν ἀνωτάτω θρόνων πάρεδρος νηστεία ἅμα κάτεισιν ἐπιπορευομένη τὴν τηλικαύτην ἀδικίαν, καὶ παρὰ χρῆμα ἐναλλὰξ ἕρπει πάντα δι' αὐτῆς ἐπανισούμενα καὶ διορθούμενα. Ἡ μὲν γὰρ τλήμων γαστὴρ καὶ κακῶν ἁπάντων αἰτία δίκην πᾶσι μέλεσι δίδωσι τοῦτο μὲν τοῦ θεοποιεῖσθαι καὶ δασμοφορεῖν ὁσημέραι παρὰ στοιχείων πάντων καθαιρουμένη, τοῦτο δὲ θλίψεως ἄρτῳ καὶ ὕδατι στενῷ πιεζομένη καὶ δαμαζομένη ἐγκρατείας μάστιγι, τοῦ προ-

1. ἠδικεῖτο M: ἠδικεῖτο μ  ζημιούμενον M: ζημιούμενος μ  ψυχῇ ἔγραψα: ψυχὴ Mμ  διαιτᾷ M: διαιτὰ μ  3. γὰρ M: λείπει μ  πάλαι ποτὲ ἔγραψα: πάλαί ποτε Mμ  4. ὡς M: λείπει μ  5. εἰσάγουσι M: εἰσάγουσιν μ  6. διώκουσι M: διώκτου μ  7. μαργοσύνην M: μαργωσύνην μ  11. ἀμβλυνομένη M: αμβλυνομένη μ  ὀσφὺς ἔγραψα: ὀσφῦς Mμ  13. κἀκ τοῦ M: κακτοῦ μ  15. ἐπιδράττονται M: ἐπιδράττωνται μ  16. αἰτιάσαιτ' M: αἰτιᾶσαιτ' μ  17. κἂν μ: κᾶν M  18. κατηγορήσειε M: κατηγορησειεν μ  19. ἀνωτάτω M: ἀνωτάτων μ  20. ἐπιπορευομένη M: ἐπὶπορευομένη μ  παρὰ χρῆμα ἔγραψα: παραχρῆμα Mμ  22. γαστὴρ M: γαστρὶ μ  22-23. πᾶσι μέλεσι δίδωσι M: πᾶσιν μέλεσιν δίδωσιν μ  23. δασμοφορεῖν M: δεσμοφορεῖν μ  24. τοῦτο δὲ M: τοῦ δὲ μ  25. πιεζομένη καὶ δαμαζομένη M: πιεζωμένη μ

Ε.Υ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

κοιλίου τε ὄγκου συστελλομένη καὶ εἴσω πλευρῶν ἑκατέρων περιγραφομένη ὡς ἔν τινι στενοχώρῳ εἱρκτῇ· μέλη δὲ πάντα δίκην λαβόντα ὧν ἔπασχον νοσερῶν ἀδικημάτων τῆς ἀειδουλίας προςαπήλλακται· ἀπέστραπται γὰρ καὶ περιφρονεῖ τὴν ἄπληστον, οὐκέτι τὸν πάντα μόχθον αὐτῶν συμφοροῦντα καὶ ὡς εἰς πίθον αὐτὴν τετρημένον ἐπαντλοῦντα διὰ τοῦ στόματος· αὐτομολεῖ δὲ μᾶλλον εἰς ψυχὴν καὶ τὰς ἐλευθέρας ταύτης ὑπουργίας ἀσπάζεται. Οὐκέτι γνάθοι γαστρός ἐστιν ἀλεστρίδες ἀλήθουσαι ἄπαυστα· οὐκέτι λάρυγξ σῖτα μόνα γευόμενος παραπέμπει τῇ πανδοχεῖ ὡς ἀείρρους τις ἀγωγός. Ἄλλης γὰρ ᾔσθοντο καθαρᾶς ἡδονῆς καὶ ἐλευθέρου, κἀκείνης ἐξήρτηνται, τῆς βοσκηματώδους λαθόμενα κατὰ τὸν ᾄδοντα Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου· ὑπὲρ μέλι τῷ στόματί μου. Οὐκέτι οὐδὲ χεῖρες γαστρίδουλοι τὰ Μιθαίκου καὶ Θεαρίωνος δαιταλουργοῦσαι καὶ τὰ Σαράμβου διαπονούμεναι, ὡς ἂν ὑπὸ χειροπέδαις ἐπ' ἐργασίαν ἀπέραντον τῆς ἀπολλυμένης βρώσεως κατασπώμεναι, τῆς δ' ἐργοδιώκτιδος ἐλευθεριάζουσαι ψυχῇ πρὸς θεὸν ἐκδημούσῃ διὰ προσευχῆς συνεξαίρονται καὶ πρὸς τὰς ἄνω διαπετάννυνται, οὐδ' ἐπ' ἀμφοτέραις ταῖς ἰγνύαις χωλαίνομεν, γαστρὶ καὶ ψυχῇ, κατὰ τοὺς διψύχους ἄνδρας καὶ ἀκαταστάτους ἐν πάσαις ταῖς ὁδοῖς αὐτῶν ἀλλοπροςάλλως ἐπικλινόμενοι. Στερούμεθα δὲ καὶ τὰς βάσεις καὶ τὰ σφυρὰ καὶ πρὸς οἴκους μόνους τῆς προσευχῆς εὐθυποροῦμεν καὶ μόνην τὴν εὐθὺ θεοῦ φέρουσαν ἐλαύνομεν ὡς ἀρτίποδες. Γόνατα γὰρ ἀπὸ νηστείας ἀσθενοῦντα καὶ τρομερὰ δυνατά εἰσιν ἄλλως καὶ εὔδρομα, ὡς τοὐναντίον, ἐπειδὰν ῥώννυνται κνῆμαι πολυσαρκίᾳ, οὐκ εὐδοκεῖ θεὸς ἐν αὐταῖς. Οὐκέτι καὶ στέρνον λογισμοῖς πονηροῖς καὶ ὑπερημέροις μερίμναις τῶν τρωτέων καὶ ποτέων ἄχθεται, τυπτόμενον δὲ μεταμέλῳ καὶ στε-

2. εἱρκτῇ Μ: εἱρκτὴ μ 3. ἔπασχον Μ: ἐπέσχον μ 4. οὐκέτι Μ: ὀυκ ἔτι μ 5. τετρημένον Μ: τετπρημένον μ 6. διὰ τοῦ Μ: διατοῦ μ 7. οὐκέτι Μ: οὐκ ἔτι μ 7-8. γαστρός ἐστιν Μ: γαστρὸς ἐστιν μ 8. ἀλετρίδες φαίνεται διωρθωμένον ἐξ ἀλεστρίδες Μ: ἀλλετρίδες μ 9. γευόμενος Μ: γευόμενα μ παραπέμπει Μ: παραπέμπη μ πανδοχεῖ Μ: πανδοχῆ μ τίς μ: τὶς Μ 10. κἀκείνης Μ: κακείνης μ 12. οὐκέτι Μ: οὐκ ἔτι μ 14. ἐπ' ἐργασίαν Μ: ἐπεργασίαν μ 16. ψυχῇ Μ: ψυχὴ μ διὰ Μ: δια μ 17. ἐπ' ἀμφοτέραις Μ: ἐπαμφοτέρες μ 18. ψυχῇ Μ: ψυχὴ μ 20. καὶ τὰς μ: τὰς Μ σφυρὰ Μ: σφῦρα μ 23. δυνατὰ εἰσὶν Μ: δυνατὰ εἰσὶν μ 24. ἐπειδὰν Μ: ἐπειδ' ἂν μ ῥώννυνται Μ: ῥωννῦται μ 25. οὐκέτι Μ: οὐκ ἔτι μ

ναγμοῖς διαπνεόμενον κενοῦταί πως τοῦ βαρυκαρδίου πληρώματος. Ἐπὶ πᾶσι δὲ δικαιοῦνται καὶ ψυΐαι τὴν περὶ ὕβρεως γραφὴν κατὰ γαστρὸς ἐνστησάμεναι· ἐμπαιγμάτων γὰρ ὅσων ἐμπίπλανται ὡς ἐκγόνων κόρου γαστρὸς εὐθύνας εἰσπράττονται καὶ δίκας λαμβάνουσι παρ' αὐτῆς, λιμῷ πιεζομένης καὶ καταργουμένης αὐτοῖς βρώμασι καὶ στερίφης τοῦ λοιποῦ γινομένης τῶν ὑπογαστρίων ὕβρεων.

Οὕτως καὶ κατὰ τὸ ἐπανορθωτικὸν τῆς δικαιοσύνης μόριον ἐγκράτεια διαιτᾶν οἶδε γαστρὶ καὶ λοιποῖς μέλεσι καὶ τῇ μὲν δίκην κατ' ἀριθμητικὴν ἀναλογίαν ἐπιτιθέναι, τὰ δ' ἐκδικεῖν δι' ἐπιβαλλούσης ἐπανισώσεως, καί, τὸ καινότερον, οὐδ' αὐτῇ τῇ γαστρὶ τὰ τῆς τιμωρίας ἐπὶ κακῷ γίνεται, εὖ δὲ μᾶλλον πάσχει τιμωρουμένη. Τοῦ πολλοῦ γὰρ φόρτου τῶν πολυειδῶν ἐδεστῶν, ὑφ' οὗ κατατείνεται καὶ νόσοις καὶ αὐτὴ κέχρηται τὰ πολλά, κουφίζεται καὶ ῥᾴων καθίσταται οὐχ ἑκοῦσα μέν, ὅτι μηδ' ἔχει ὦτα τῶν νουθετήσεων ἐπαΐοντα· ἀνεπίστροφον γὰρ πάντη τοῦ λόγου τὸ θρεπτικὸν τῆς ψυχῆς καὶ οὐδ' ὅσον ἐπιθυμία καὶ θυμὸς λογικεύεται· πλὴν εἰ καὶ μὴ πειθοῖ, βίᾳ γοῦν κατακούει καὶ ἥδε τοῦ καιροῦ καὶ λαγαρωτέρα δι' ἐγκρατείας γίνεται. Οὔτε γὰρ τὰ βρώματα τῇ κοιλίᾳ καὶ νῦν ὡς τὸ πρότερον, οὐδ' ἡ κοιλία τοῖς βρώμασι· διακόπτει γὰρ τὴν πρὸς ἄλληλα τούτων σχέσιν ἐμπίπτουσα μέσον ἐγκράτεια καὶ ὡς νυμφίον ἐξάγει ἐκ κοιτῶνος καὶ νύμφην ἐκ παστοῦ, οὕτω καὶ κοιλίαν διασπᾷ βρωμάτων σχέσεως καὶ κοιλίας ἐκκρούει βρώματα. Ὁρᾶτε ἡλίκη τοῦ ἡλίου τῆς δικαιοσύνης τράπεζά ἐστιν ἡ νηστεία καὶ οἵᾳ φιλοφροσύνῃ δεξιοῦται τοὺς νήφοντας.

Ὥρα τοίνυν ὥςπερ ἐξ ὕπνου ἐγερθῆναι μακροῦ. Ὄντως γὰρ οὐδὲν

2. πᾶσι δὲ M: πᾶσιν μ   2-3. κατὰ γαστρὸς M: καταγαστρὸς μ   4. λαμβάνουσι παρ' M: λαμβάνουσιν ὑπ' μ   6. ὕβρεων M: φύσεων (διαγεγραμμένον) ὕβρεων μ   7. καὶ κατὰ M: κατὰ μ   8-9. κατ' ἀριθμητικὴν M: καταριθμητικὴν μ   9. δ' M: δὲ μ   9-10. δι' ἐπιβαλλούσης ἐπανισώσεως M: διεπιβαλλούσης ἐπανιώσεως μ   11. ἐπὶ κακῷ M: ἐπικακῷ μ   14. μηδ' ἔγραψα: μήδ' Mμ   15. ἀνεπίστροφον M: ἀνεπίστρεφον μ   18. τὸ μ: λείπει M   20. ἐξάγει M: ἐξάγοι μ   22. σχέσεως M: σχέσεως κατὰ διόρθωσιν τοῦ τὸ πρῶτον γραφέντος σχέσεων μ   ἐκκρούει M: ἐκβρύει μ   23. τράπεζά ἐστιν M: ἡ τράπεζα ἐστὶν μ   οἵᾳ φιλοφροσύνῃ M: οἷα φιλοφροσύνην μ   25. ὥρα M: ὥρα κατὰ διόρθωσιν τοῦ τὸ πρῶτον γραφέντος ὅρα μ   ὥσπερ M: ὡς μ

ἀπεοίκαμεν καθευδόντων καὶ μόνοις προσασχολουμένων ὀνείρων ἀθύρμασι, μᾶλλον δὲ περὶ μὲν τὰ σπουδαῖα καθευδόντων ἀεί, περὶ δὲ τὰ φλαῦρα διαγρυπνούντων ἀκοίμητα. Δεινὸν μέν, ὦ οὗτοι, καὶ τὸ δι' ἔτους παντὸς ἐπινυστάζειν τοῖς ἔργοις τοῦ φωτὸς καὶ περὶ μόνα ἐγρηγορέναι τὰ κενὰ τοῦ βίου ἐνύπνια, τὸ δὲ καὶ τῆς ἡμερινῆς ἐγκρατείας διαγελώσης κἀπὶ τὸν αὐτῆς νηφάλιον κρατῆρα συγκαλούσης ὑψηλῷ καὶ παγκοσμίῳ κηρύγματι ὀνειρώττειν καὶ ῥέγκειν ἐξυπτιάζοντας οἵας καὶ ὅσης ῥαστώνης πάρεσις. Ἆρα οὐκ ἄντικρυς τοῦτο πάθος ὑπνούντων εἰς θάνατον, καίτοι οὐδ' οἱ τοιοῦτοι καθεύδουσιν ἀδιύπνιστα, ἐπεμβοῶντος καὶ ἐπιφαίνοντος Χριστοῦ; Ἔγειραι γάρ φησιν ὁ καθεύδων καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός. Μὴ δὴ καὶ τῶν νεκρῶν φαινώμεθα, ὦ φίλοι καὶ ἀδελφοί, πολλῷ ὑπνηλότεροι καὶ νωθέστεροι, εἴπερ ἐκεῖνοι μέν, ἐπιτάττοντος τοῦ Χριστοῦ νῦν μὲν Νεανίσκε, σοὶ λέγω ἐγέρθητι, νῦν δὲ Ἡ παῖς ἐγείρου καὶ αὖθις Λάζαρε δεῦρο ἔξω, παρὰ χρῆμα ἐξανίσταντο, τὸν θάνατον ὅσα καὶ ἐπιπόλαιον ὕπνον ἐκτιναττόμενοι, ἡμεῖς δέ, τοῦ αὐτοῦ δεσπότου διακελευομένου Δεῦτε πάντες καὶ Ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν, οὐ διανιστάμεθα, οὐ διυπνιζόμεθα τὴν ἀρχήν.

Ὢ τῶν καινῶν καὶ μεγάλων θαυμάτων. Νεκροὶ τῆς φωνῆς ἤκουσαν τοῦ υἱοῦ τοῦ θεοῦ καὶ ἀκούσαντες ἔζησαν, καὶ τὸ τέρας διπλοῦν, ὅτι τε νεκροὶ ἤκουσαν καὶ ἀκούσαντες ἔζησαν. Ἡμεῖς δὲ οὔτε ἀκούομεν τῆς φωνῆς τοῦ υἱοῦ τοῦ θεοῦ, οὔτ' ἀκούοντες πρὸς ζωὴν ἐγειρόμεθα, μένομεν δὲ ὡσαύτως καὶ κείμεθα οὕτως ὡς ὄντως ἀείνεκροι. Καὶ τί ποτέ ἐστιν, ὦ ἀδελφοί, τοῦ τοιοῦδε πάθους τὸ αἴτιον; Διαπορῆσαι γὰρ ἄξιον, πότερον οὐκέτι ζωοποιεῖν Χριστὸς τοὺς νεκροὺς βούλεται ἢ βουλόμενος οὐχ οἷός τέ ἐστι ζωοποιεῖν διὰ τὴν ἀπιστίαν ἡμῶν, ὡς κἂν

2. μὲν Μ: λείπει μ 6. κἀπὶ Μ: καὶ ἐπὶ μ συγκαλούσης Μ: συγγαλούσης μ 7. ὀνειρώττειν Μ: εἰνειρώττειν μ ῥέγκειν Μ: ῥέγγειν μ 8. ἆρα Μ: ἄρ' μ 9. τοιοῦτοι Μ: τοιούτοι μ 10. ἔγειραι Μ: ἔγειρε μ 12. φαινώμεθα Μ: φαινόμεθα μ 15. παραχρῆμα ἔγραψα: παραχρῆμα Μμ ἐξανίσταντο Μ: ἐξίσταντο μ 16. ἐπιπόλαιον Μ: ἐπιπόλαιον μ 17. ἐγείρεσθε Μ: ἐγείρεσθαι μ 18. διυπνιζόμεθα Μ: διυπνιζώμεθα μ 20. τε ἔγραψα: τὲ Μμ 21. οὔτε Μ: οὔτ' μ 22. ἐγειρόμεθα Μ: ἐγειρώμεθα μ 23. ἀείνεκροι Μ: ἀεὶ νεκροὶ μ 25. οὐκέτι Μ: οὐκ ἔτι μ 26. οἷός ἔγραψα: οἶος Μμ 27. κἂν Μ: κὰν μ

τῇ ἰδίᾳ πατρίδι οὐκ ἐδύνατό φησιν οὐδεμίαν ποιῆσαι δύναμιν, ἤ τούτων μὲν οὐδέτερόν ἐστιν, ἄλλος δέ τις λόγος ἀπορρητότερος καὶ μακρότερος, οἶμαι, ὃν οὐκ ὀκνήσω καὶ διεξιέναι ὑμῖν.

Διττὰς οἶδα τοῦ καθ' ἡμᾶς βίου ζωάς, τὴν μὲν φυσικὴν καὶ κοινήν, καθ' ἣν ζῇ πᾶν ἔμψυχον, τὴν δὲ προαιρετὴν καὶ μόνοις τοῖς σπουδαίοις ἔμβιον, διττοὺς δὲ ἀναλόγως καὶ θανάτους, τὸν μὲν φυσικόν, ὃν ἅπαντες θνήσκομεν, τὸν δὲ προαιρετὸν καὶ τοῖς ἐθελοκακοῦσιν ἑπόμενον. Οὕτω δὲ θανάτους διττοὺς θνήσκοντες φυσικῶς τε καὶ προαιρετῶς, οὐχ ὡσαύτως καὶ ἀναβιοῦμεν ἐξανιστάμενοι, ἀλλὰ τὸν μὲν φυσικὸν ἀποβαλλόμεθα θάνατον, μόνου Χριστοῦ τοῦ δεσπότου τῆς φύσεως ζωοποιοῦντος καὶ μὴ προαιρουμένους ἡμᾶς, τὸν δὲ προαιρετὸν ἀποτιθέμεθα συμπροθυμούμενοι καὶ αὐτοὶ καὶ τὴν ἐκ τοῦ κακύνεσθαι συμπονοῦντες ἀναβίωσιν.

Παράδειγμα τοῦ κατὰ προαίρεσιν ἀγαθυνομένην μὲν ζῶντος, κακυνομένην δὲ θνήσκοντος καὶ αὖθις διὰ τῆς εἰς τὸ ἀγαθὸν ἐπανόδου ἀναβιοῦντος ὁ ἐν Εὐαγγελίοις ἄσωτος παῖς. Οὗτος γάρ, ἕως μὲν τῷ καλῷ συνέζη πατρί, τῆς κατ' ἀρετὴν ἐνεφορεῖτο ζωῆς, ἐπεὶ δὲ νεώτερα φρονήσας τὴν οὐσίαν κατησωτεύσατο, ἐτεθνήκει παρὰ χρῆμα καὶ ᾤλετο, αὖθις δὲ τῆς πατρῴας ἑστίας ἀναμνησθεὶς καὶ δι' ἐπιστροφῆς πρὸς ἐκείνην ἀναδραμὼν πάλιν ἀνεβίω καὶ πάλιν τῷ πατρὶ ζωὸς ἀνασέσωσται. Μαρτυρεῖ τοῖς λεγομένοις αὐτὸς ὁ πατὴρ κεκραγώς· Οὗτος νεκρὸς ἦν καὶ ἀνέζησεν, ἀπολωλὼς καὶ εὑρέθη. Ἀλλὰ κἀν τῷ Δευτερονομίῳ φησὶν ὁ θεός· Ἰδοὺ δέδωκα ἐνώπιόν σου τὴν ζωὴν καὶ τὸν θάνατον, τὸ ἀγαθὸν καὶ τὸ κακόν.

Ἐπεὶ γοῦν τῷ λόγῳ διώρισται διπλῆν τινα εἶναι τὴν ζωὴν καὶ τὸν θάνατον, οὐκ ἄδηλον, ὅτι ὁ μὲν κατὰ φύσιν θνήσκων τῆς ζωτικῆς μόνης ἀκούων δήπου φωνῆς ἀνίσταται, ὁ δὲ κατὰ προαίρεσιν νεκρού-

1. ἐδύνατό Μ: ἐδύνατο μ  οὐδεμίαν Μ: οὐδὲ μίαν μ  2. οὐδέτερόν Μ: οὐδὲν ἕτερόν μ  3. οἶμαι Μ: οἶμαι μ  4. ὑμῖν Μ: ἡμῖν μ  5. προαιρετὴν Μ: προαιρετικὴν μ  μόνοις Μ: μόνην μ  8. τε Μ: τὲ μ  9. ἐξανιστάμενοι Μ: ἐξιστάμενοι μ  9. ἀποβαλλόμεθα Μ: ἀποβαλλώμεθα μ  12. συμπροθυμούμενοι ἔγραψα: συνπροθυμούμενοι Μμ  13. κατα Μ: κατα μ  14-15. κακυνομένην Μ: κακυνωμένην μ  17. ἐτεθνήκει Μ: ἐτεθνήκη μ  19. ἀνεβίω Μ: ανεβίω μ  19-20. ἀνασέσωσται Μ: ἀνεσώσατο μ  20. οὗτος Μ: λείπει μ  21. ἀπολωλὼς Μ: ἀπολωλός μ  κἀν Μ: κἂν ἐν μ  24. γοῦν Μ: οὖν μ  διπλῆν τινα Μ: διπλὴν τινὰ μ  25. ὁ μὲν κατὰ φύσιν Μ: μεν καταφύσιν μ  κατὰ Μ: κατα μ

Ε.Σ. ... ΙΩΑΝΝΙΝΑ 2006

μενος τῇ τοῦ ζῶντος ἀγαθοῦ φυγῇ οὐ πάντας ἀκούσας ὑπήκουσιν, οὐδ' ἐκ τοῦ θανατοῦντος κακοῦ καὶ μὴ θέλων ἀνέσφηλεν, ὅτι μηδ' ἀκούσιόν τι χρῆμα κακία καὶ ἀρετή. Ἑκόντες γὰρ κακυνόμενοι θνήσκομεν· Ἵνα τί γάρ φησιν ἀποθνήσκετε, οἶκος τοῦ Ἰσραήλ· καὶ ἑκόντες αὖθις ἀγαθυνόμενοι θανάτου ἐξαναλύομεν ἑαυτούς· τοῦτο γάρ ἐστι τὸ δοθῆναι ἐνώπιον ἡμῶν τὴν ζωὴν καὶ τὸν θάνατον, εἴτ' οὖν τὸ ἀγαθὸν καὶ τὸ κακόν, τὸ ἐφ' ἡμῖν κεῖσθαι δῆλα δὴ τούτων ἑκάτερον. Ἀναστὰς γάρ φησιν ὁ νεκρὸς καὶ ἀπολωλὼς ἄσωτος, πορεύσομαι πρὸς τὸν πατέρα μου, τῇ ἀγαθῇ μέντοι προαιρέσει συναντιλαμβανομένου καὶ τοῦ θεοῦ. Ἀντιλαβοῦ μου γάρ φησι κατὰ τὸ λόγιόν σου καὶ ζήσομαι, καὶ Χωρὶς ἐμοῦ, φησιν, οὐ δύνασθε ποιεῖν οὐδέν. Ἀντιλαμβάνεται δὲ ἡμῶν πρότερον ἐπανιόντων ἢ προθυμουμένων ἐπανιέναι εἰς τὸ ἀγαθόν· εἰ γὰρ μὴ πρότερον εἶπεν Ἀναστὰς πορεύσομαι, καὶ ἀναστὰς ἦλθεν, ἄρα προσέδραμεν ἂν αὐτῷ ὁ πατὴρ ἐπὶ ξένης συφορβοῦντι καὶ μισθαρνοῦντι ἢ προσδραμὼν ἐπέπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ, ἵνα μηκέτι σκληρυνόμενος ὡς νεῦρον σιδηροῦν ἀπορρίπτῃ κατὰ τὰς παροιστρώσας δαμάλεις τὸν ζυγὸν τῆς πατρότητος, ἢ τὴν πρώτην στολὴν ἐνέδυσεν, ὅ ἐστι τῆς κατ' ἀρετὴν δόξης καταστολή, ἢ δακτύλιον δέδωκεν εἰς τὴν χεῖρα, ὅςτις ποτέ ἐστιν ὁ δακτύλιος οὗτος, εἴτε σφραγὶς πράξεως εἴτ' ἀρραβὼν πνεύματος ἢ ὑποδήματα εἰς τοὺς πόδας αὐτοῦ, ἐξουσίαν δῆλον ὅτι τοῦ πατεῖν ἐπάνω δάκνοντος ὄφεως καὶ σκορπίου καὶ διψάδος καὶ εἴ τι ἕτερον ἑρπετὸν Αἰγύπτιον καὶ πτέρνης ἐπίβουλον. Ἐπεὶ γοῦν ἐνώπιον ἡμῶν δέδοται ἡ ζωὴ καὶ ὁ θάνατος, τὸ ἀγαθὸν καὶ τὸ κακόν, καὶ ἐφ' ἡμῖν ἐστιν ἢ τὴν ἀρχὴν μὴ τεθνάναι κακυνθέντας ὡς ἐμμένοντας τῷ ἀγαθῷ ἢ παρατραπέντας

1 φυγῆ Μ: φυγὴ μ  3. ἀρετὴ Μ: ἀρετῆ μ  3-4. γὰρ κακυνόμενοι θνήσκομεν Μ: καὶ κακυνώμενοι θνίσκομεν μ  4. γὰρ Μ: λείπει μ
5. ἐξαναλύομεν Μ: ἐξαναλλύομεν μ  8. φησιν Μ: φησὶν μ  9. τὸν μ: τιλφόβρωτον Μ  ἀγαθῆ Μ: ἀγαθὴ μ  10. θεοῦ Μ: θεοῦ ἀντιλαμβανομένου καὶ τοῦ θεοῦ μ  φησι Μ: φησιν μ  11. φησιν Μ: φησὶν μ
15. ἐπέπεσεν Μ: ἐνέπεσεν μ  16. μηκέτι Μ: μήκέτι μ  νεῦρον Μ: νευρο μ  ἀπορρίπτει Μ: ἀπόρρίπτει μ  17. παροιστρώσας ἔγραψα: παροιστρώσεις Μμ  18. ἐστι τῆς Μ: ἐστιν μ  19. τὴν χεῖρα Μ: χεῖραν μ  ὅςτις ἔγραψα: ὅςτίς Μ: ὅστι μ  ποτέ Μ: ποτε μ  20. ἀρραβῶν Μ: ἀραβών μ  21. δῆλον ὅτι ἔγραψα: δήλονότι μ: δηλονότι Μ
24. ἐστιν Μ: ἐστὶν μ  25. τεθνάναι Μ: τεθνᾶναι μ  κακυνθέντας Μ: κακοθέντας μ

καὶ τεθνεῶτας ἀγαθυνθῆναι αὖθις καὶ ἀναβιῶναι, ἵνα τί, ὦ φίλοι καὶ ἀδελφοί, οὐκ ἀποθνήσκομεν, λέγω; Τίς γάρ ἐστι τῶν καθ' ἡμᾶς, ὃς οὐκ ὄψεται ψυχικὸν θάνατον; Ἀλλ' ἵνα τί ἀποθνήσκοντες οὐκ ἀναβιώσκομεν ζωτικῶς ἔχοντες, κἂν εἰς ἐσχάτην κατηνέχθημεν νέκρωσιν, καὶ μάλιστα νῦν ὅτε διὰ μετανοίας ἀνάυτασις; Μὴ γάρ φησιν οὐκ ἀνίσταται ὁ πίπτων ἢ ὁ κοιμώμενος οὐ προθήσει τοῦ ἀναστῆναι, κἂν ὑπνώττοι ἄλλως εἰς θάνατον;

Ἰδοὺ καὶ πάλιν ὁ ζωοποιὸς Χριστὸς οἷα χεῖρας μεγαλουργοὺς προτείνων ἐγκράτειαν καὶ νηστείαν, ἐξάγει πεπεδημένους ἐν ἀνδρείᾳ ὁμοίως τοὺς παραπικραίνοντας, τοὺς κατοικοῦντας ἐν τάφοις βούλεται. Ἰδοὺ ἀνοίγω, φησί, τὰ μνήματα ὑμῶν καὶ ἀνάξω ὑμᾶς ἐκ τῶν μνημάτων ὑμῶν. Ἐξέλθωμεν τοίνυν ἐκ τῶν νεκρῶν ἔργων οἱ πεπεδημένοι καὶ ταῖς ἰδίαις σειραῖς σφιγγόμενοι καὶ κατοικοῦντες ὡς ἐν τάφοις τοῖς σώμασιν. Ἀποσεισώμεθα τὰς πέδας, ἃς οὐκ ἄκοντες περικείμεθα. Ἐξέλθωμεν τῶν περιφορήτων τουτωνὶ τάφων, οἷς ἐγκατορύττομεν ἐθελούσιοι τὰ νεκροφόρα ἡμῶν καὶ παντλήμονα ψυχάρια. Ἐξέλθωμεν, μὴ αὐτοχειρίᾳ ἡμῶν· τοῦτο γὰρ θανάτου παντὸς ὀλεθριώτερον· ἀλλὰ τῇ ἀποστατήσει τῶν ἐμπαθεστέρων σχέσεων. Οὐκ ἄλυτοί εἰσιν ἡμῶν οἱ δεσμοί, οὐδ' ἄρρηκτοι, καὶ μᾶλλον τοῦ ἐξάγοντος πεπεδημένους ἐν ἀνδρείᾳ Χριστοῦ διαρρήσσοντος ἢ λύοντος. Ὁμοίως οὐδ' οἱ τάφοι οἷς ἑκουσίως ἐντυμβευόμεθα αἰώνιοι κάτοχοι ἢ τὸ παρ' ἅπαν ἀδιεξίτητοι. Ἡλίκος ὁ γάμος δεσμός; Ἆρ' οὐκ ἄλυτος ἀνθρώπῳ καὶ ἄρρηκτος; Ἀλλὰ καὶ ὁ τοιοῦτος ὑπεκλυτέος πώς ἐστιν ἐπὶ χρόνον ἡμῖν, ὡς ἔχοντας γυναῖκας μὴ ἔχειν δοκεῖν, εἴπερ ἐκ συνθήματος παρ' ὅλον τὸν καιρὸν τῆς ἐγκρατείας τῆς γαμικῆς ὁμιλίας διαζεύγνυσθε καὶ νηστείᾳ προςλιπαρεῖτε καὶ προσευχῇ. Ὥςπερ ἕτερος κύφων βαρὺς καὶ πρὸς γαστέρα κάμπτων ὁ γαστρίδουλος ἐθισμός, οὗ δὴ κα αὐτοῦ λυτικός ἐστιν εἴπερ τις ὁ καιρὸς οὑτοσί. Καὶ μέριμναι μὲν βίου

1. ἀγαθυνθῆναι M: ἀγαθῦναι μ 3. ψυχικὸν M: λείπει μ 5. μάλιστα M: μάλλιστα μ μὴ ἔγραψα: μή' Mμ 6. οὐ M: οὐχὶ μ 7. ὑπνώττοι M: ὑπνώττει μ εἰς M: λείπει μ 8 οἷα M: οἷας μ 9. ἐξάγει μ: ἐξάγειν M 12. ἐξέλθωμεν M: ἐξέλθετε μ 15. τουτωνὶ M: τούαων μ
19. ἄλυτοί εἰσιν M: ἄλυτοι εἰσὶ μ 21 - 22. παρ' ἅπαν ἔγραψα: παράπαν Mμ 23. πώς ἔγραψα: πῶς Mμ 25. παρ' M: παρ μ 26. προσλιπαρεῖτε M: λιπαρεῖτε μ ὥςπερ M: καὶ ὥσπερ μ 28. εἴπερ ἔγραψα: εἶπέρ Mμ

καὶ πλούτου ἀπάται ἄλυσίς τις πολυπλεκής· ἄλλαι γὰρ ἐπ' ἄλλαις ὡς δι' ἀλληλουχίας κρίκων ἐνειρόμεναι συνάπτονται καὶ ὅλον τὸν ἐντὸς καὶ ἐκτὸς ἄνθρωπον διαλαμβάνουσι καὶ κατάγχουσι, μικρολογία δὲ καὶ φειδωλία χειροπέδαι ἄντικρυς σιδηραῖ, ἄλλος δ' εἴποι χρυσαῖ· χρυσοῦ γὰρ ἔρωτι χεῖρας ξυνδέουσαι οὐκ ἐῶσιν ἐπὶ φιλάνθρωπον δόσιν ἐλευθερίως ἐκτείνεσθαι ἢ πρὸς θεὸν ἐνεργοὺς καὶ καθαρὰς διὰ προςευχῆς ἀνατείνεσθαι. Ὧν λύσις μία καὶ εὐχερής, ἡ πρὸς τοὺς δεομένους ὄρεξις καὶ χρηστότης καὶ ὧν συσφίγγουσιν ἀνελευθέρως καὶ παρ' ὧν μᾶλλον αὗται συσφίγγονται ἁπλότης μεταδοτικὴ καὶ δεξίωσις, ὥςπερ καὶ τῆς ἀλύσεως τῶν μεριμνῶν καὶ περὶ τὰ πολλὰ τυρβασμῶν διάρρηξις· ἡ χρεία τοῦ ἑνὸς ὑποτέμνεται γὰρ τὴν τῶν πολλῶν κατάχρησιν ἢ παράχρησιν, ἡ κατὰ λόγον ἀναγκαία χρῆσις τοῦ ἑνός.

Καί, ἵνα μὴ τοὺς καθ' ἕκαστον λέγων δεσμούς, σειράν τινα λόγου διαμηκύνων ἐπισπῶμαι σχοινοτενῆ, ἡ ἐν ἡμῖν καθόλου αἴσθησις διὰ τῶν πενταρίθμων ὀργάνων ὅσα καὶ ξύλου πεντεσυρίγγου ὅλην τὴν ψυχὴν προςπατταλεύει τοῖς αἰσθητοῖς, καὶ αὐτὸ δὲ ὅλον τὸ σῶμα δεσμός ἐστί τε καὶ κέκληται τῆς ψυχῆς καὶ παρὰ τοῦτο δέμας καὶ εἱρκτὴ τοῖς παλαιοῖς ὠνόμαστο. Ἀμέλει τοι καὶ ὁ μὲν σοφὸς Ἱερεμίας δεσμίους γῆς ἡμᾶς καλεῖ, Δαβὶδ δὲ φυλακὴν ὀνομάζει τὸ σῶμα τοῦτο καὶ λάκκον ταλαιπωρίας καὶ πηλὸν ἰλύος καὶ τάφον καὶ θανάτου σκιάν, Παῦλος δὲ σῶμα θανάτου, καὶ πηλίνην οἰκίαν ἕτερος. Ἡ γὰρ εὐγένεια τῶν μεγάλων ἐκείνων καὶ οὐρανίων ψυχῶν, τὴν συζυγίαν τοῦδε τοῦ σώματος ὡς τιτανικὸν δυσχεραίνουσα δεσμωτήριον, τούτοις

1. ἄλυσίς ἔγραψα: ἀλυσίς Μμ  τις Μ: τε μ  πολυπλεκής Μ: πολύ-
πλεκῆς μ  2. δι' ἀλληλουχίας Μ: διαλληλουχίας μ  4. σιδηραῖ Μ:
σιδηραὶ μ  6. ἐκτείνεσθαι Μ: ἐπεκτείνεσθαι μ  ἐνεργοὺς Μ: ἐνερ-
γους μ  καθαρὰς Μ: καθαρᾶς μ  7. εὐχερής Μ: εὐχερεῖς μ  8. ἀνε-
λευθέρως Μ: ελευθέρως (ἀν) μ  9. παρ' Μ: παρ μ  μεταδοτική Μ: μετα-
δοτική μ  10. ἀλύσεως ἔγραψα: ἀλύσεως Μμ  11. τοῦ Μ: λείπει μ
12. ἡ κατὰ λογον ἀναγκαία Μ: ἡ καταλόγον ἀναγκαῖα μ  14. τοὺς Μ:
τοῦ μ  καθ' ἕκαστον ἔγραψα: καθέκαστον Μμ  λέγων Μ: λέγω μ
15. διαμηκύνων - αἴσθησις Μ: λείπουσι μ  17. προσπατταλεύει Μ:
προσπαταλεύει μ.  18. δεσμος ἐστί ἔγραψα: δεσμὸς ἐστὶ Μ: δεσμός ἐστι μ
παρὰ τοῦτο Μ: παρατοῦτο μ  δέμας Μ: ἀντὶ τοῦ δέμας ἤρχισε γράφων δὲ
καὶ Μ: λείπει μ  19. ἱερεμίας μ: ἱερεμίας Μ  Ὕν τῇ φῳ Ὠαι μ
24. τοῦ Μ: λείπει μ  δυσχεραίνουσα Μ: δυσχερένουσα μ

ἠμύνατο τοῖς ὀνόμασιν, οἷα δὲ λύσιν καὶ δουλείας ἀπαλλαγὴν ἐπόθει τὴν ἐνθένδε διάζευξιν. Καὶ γέγραπται Ὡς εἶδεν ἡ συναγωγή, ὅτι ἀπελύθη Ἀαρών, ὅ ἐστι τετελεύτηκεν. Ἡμεῖς δέ, ὡς ἀγενεῖς καὶ φιλοσώματοι, μᾶλλον δὲ σάρκες μόνον ὄντες, τὴν ἀνδραποδώδη λατρείαν ἀσπαζόμεθα, καὶ χαίρομεν ὄντες δεσμῶται, καὶ μᾶλλον ὅσῳ βαρυτέρας τὰς πέδας ἐπισκευάζομεν καὶ μέχρι τούτου ζῆν οἰόμεθα, ἕως τοῖς τάφοις ἐγκατορυττόμεθα τούτοις κατ' ἐκείνους οἳ τὴν ζωὴν βρώσεσι μετροῦντες καὶ πόσεσι παρὰ τῷ Προφήτῃ ταλανίζονται ὡς κλαυθμοῦ καὶ κοπετοῦ ἄξιοι, ποιοῦντες δ' ὅμως εὐφροσύνην καὶ ἀγαλλίαμα, σφάζοντες μόσχους καὶ θύοντες πρόβατα, ὥστε φαγεῖν κρέα καὶ πιεῖν οἶνον, λέγοντες Φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν· οἷς δὴ καί, ὡς πλημμελούντων οὐ συγγνωστὰ τῶν τοιαῦτα ληρούντων, ἐπιφέρει τὸ προφητικὸν πνεῦμα λέγον Καὶ ἀνακεκαλυμμένα ταῦτά ἐστιν ἐν τοῖς ὠσὶ Κυρίου Σαβαώθ, ὅτι οὐκ ἀφεθήσεται ὑμῖν αὕτη ἡ ἁμαρτία ἕως ἂν ἀποθανεῖτε. Ἄλλος δ' ἐν τοῖς ἱεροῖς Εὐαγγελίοις, καὶ ταῦτα μηδ' ἐς νέωτα βιωσόμενος, Ψυχή, φησίν, ἔχεις πολλὰ ἀγαθά, φάγε, πίε, εὐφραίνου, βρῶσιν καὶ πόσιν καὶ ἡδυπάθειαν, καὶ οὑτοσὶ τέλος τῆς ζωῆς ὁριζόμενος καὶ παρὰ τοῦτο ἐπὶ νεοδμήτοις καὶ μείζοσιν ἀποθήκαις ταμιεύων πολλὰ ἀγαθά, ὡς οὐκ ἐξὸν ἄλλως αὐτῷ ζῆν, εἰ μὴ πολλὰ ἔχει τῆς ζωῆς ἀγαθά· οὐ γὰρ ἔχουσιν ὦτα ἀκούειν αἱ οὕτως ἀπαίδευτοι καὶ συώδεις ψυχαί, ὡς οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐν παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος θεοῦ, οὔτε μὴν ὡς οὐκ ἐν τῷ περιττεύειν τινὶ ἡ ζωὴ αὐτῷ ἐστιν ἐκ τῶν ὑπαρχόντων αὐτῷ. Διὰ τοῦτο οὐδ' ἀπὸ τῆς πλεονεξίας κατὰ τὸ Κυριακὸν παράγγελμα φυλαττόμεθα· οὕτω

1. λύσιν Μ: λῦσιν μ καὶ Μ: τῆς μ 2. ἐνθένδε ἔγραψα: ἐνθέδε Μμ 3. ἀγενεῖς ἔγραψα: ἀγεννεῖς Μ: ἀγεννεις μ 4. ἀνδραποδώδη Μ: ἀνδραπόδη μ 5. ἀσπαζόμεθα Μ: ἀσπαζώμεθα μ 12. συγγνωστὰ Μ: συγγνωστᾶ μ 13. λέγον Μ: λέγων μ 14. ταῦτά ἐστιν ἔγραψα: ταῦτα ἐστὶν Μμ 15. ἂν μ: λείπει Μ ἐν Μ: παρα μ 16. μηδ' ἔγραψα: μὴδ' Μμ βιωσόμενος Μ: βιωσόμεθα μ 17. πίε Μ: πίε πίε μ καὶ Μ: λείπει μ 18. τῆς ζωῆς Μ: λείπουσι μ 19. νεοδμήτοις Μ: νεοδμήτης μ μείζοσιν Μ: μείζωσιν μ 20. ὡς - ἀγαθὰ Μ: λείπουσι μ 21. οὕτως Μ: οὕτω μ 22. μόνῳ Μ: μόνον μ 23. ὡς οὐκ Μ: οὔτε μ περιττεύειν Μ: περιτεύον μ 24. ἡ Μ: λείπει μ ἐστιν Μ: ἐστὶν μ ὑπαρχόντων Μ: ὑπάρχόντων μ διὰ τοῦτο Μ: διατοῦτο μ 25. φυλαττόμεθα Μ: φυλαττώμεθα μ

δὲ τῇ τῶν πλειόνων ἐκκαιόμεθα φιλοκτημοσύνῃ, ὥςτ' εἴπερ οἷόν τε ἦν τῷ καθ' ἕνα ἡμῶν ἰδιώσασθαι πάνθ' ὁμοῦ χρήματα, οὐκ ἂν τὴν ἐπιχείρησιν ὤκνησεν.

Ἀλλ' ἐπείπερ ὁ λόγος ὑποφέρων ὥςπερ τι ῥεῦμα πρὸς τὴν κατὰ πλεονεξίας ὁμιλίαν ἐξήνεγκε, μᾶλλον δ' ὑπεξενεχθέντα τῆς τραπέζης τοῦ τῆς δικαιοσύνης ἡλίου αὖθις ἐπανήγαγεν ὡς ἀνάρρους εἴτ' οὖν παλιρρόθιος, καὶ εἰ βούλεσθε τῷ περὶ ταύτης τόπῳ προςδιατρίψωμεν. Οὐ γὰρ ἔξωρον τοῦ τῆς ἐγκρατείας καιροῦ ἡ κατὰ πλεονεξίας διάλεξις. Ἀπληστίας γὰρ ἁπάσης, οὐ μόνης τῆς περὶ τὴν γαστέρα καὶ τὸν φάρυγγα, ἰατὴρ ὁ καιρὸς οὑτοσὶ δέδοται, καὶ μᾶλλον τῆς ἔνδον καὶ περὶ ψυχὴν πληθωρικῆς νόσου ἢ τῆς γαστριμάργου καὶ τὸν ἐκτὸς διαλυμαινομένης ἄνθρωπον, καὶ τοσούτῳ ὅσῳ καὶ πλέον τῶν εἰςιόντων τὰ ἐξιόντα κοινοῦσι κατὰ τὴν εὐαγγελικὴν ἀπόφασιν. Ἄλλως τε οὐδὲν τῶν ἁπάντων ὡς τουτὶ τὸ νόσημα τὸν καθ' ἡμᾶς ἐπινέμεται βίον ἄρτι οἷόν τι κακὸν ἐπιδήμιον καὶ πολύφθορον· καὶ δὴ πρὸς τὰ ἐπικρατοῦντα δεινὰ καὶ μᾶλλον πιέζοντα καὶ τέχνην καὶ λόγον ἵστασθαι καὶ τὰ παρ' ἑαυτῶν ἐπιφέρειν φάρμακα καὶ μᾶλλον εἴπερ ὁλοσχερέστερά εἰσι καὶ κοινότερα ὡς πλεονεξία, καθ' ἣν καὶ τἄλλα πλημμελεῖται σχεδὸν ἅπαντα ὅσα καθ' ὑπερβολὴν ἐκπίπτουσι τῆς συμμέτρου μεσότητος. Τριῶν γὰρ ἐν ἡμῖν θεωρουμένων, ψυχῆς, σώματος καὶ τῶν περὶ τὸ σῶμα, εἴ τι πλημμελὲς ἐν ἑκάστῳ τούτων φιλεῖ γίνεσθαι, κατὰ πλεονασμόν τινα ὡς τὰ πολλὰ γίνεται. Οὕτω πολυσχιδές τι καὶ πολυκέφαλον χρῆμα πλεονεξία καὶ Τυφῶνος πολυπλοκώτερον. Οὔτε γὰρ ψυχὴ πρότερον νοσήσειε πρὶν ἢ τὸ ἐν αὐτῇ ἄλογον τοῦ λόγου πλεονεκτήσειεν, οὔτε μὴν σῶμα συμβαινόντων τῶν ἐν αὐτῷ στοι-

2. καθ' ἕνα μ: καθένα Μ 4. ὥσπερ μ: ὥσπέρ Μ κατὰ Μ: λείπει μ 5. ἐξήνεγκε Μ: ἐξήνεγκεν μ δ' Μ: δὲ μ 8. κατὰ Μ: κατὰ μ διάλεξις Μ: διαλεξις μ 9. ἀπάσης Μ: ἀπάσης μ γαστέρα Μ: γαστέραν μ 10. οὑτοσὶ Μ: οὗτοσὶ μ 11. γαστριμάργου Μ: γαστρί σου γαστριμάργου μ 12. τοσούτω μ: τοσοῦτω Μ 16. πιέζοντα Μ: ἐπιέζοντα μ 17. παρ' Μ: παρ μ ἐπιφέρειν Μ: ἐπιφερώμενα μ 17-18. ὁλοσχερέστερα Μ: ολοσχερέστερον μ 18. ὡς πλεονεξία Μ: πλεονεξίας μ τἄλλα Μ: τ' ἄλλα μ 21. τῶν Μ: τὴν μ ἐν Μ: λείπει μ φιλεῖ Μ: φιλεῖ μ 22. κατὰ πλεονασμόν τινα Μ: καταπλεονασμένα μ 23. χρῆμα Μ: πολυπλωκότερον χρῆμα μ 24. νοσήσειε Μ: νοσείσειε μ πρὶν ἢ ἔγραψα: πρινὴ Μμ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

χείων ἰσοκρατές, ἕως ἔν γέ τι τῶν λοιπῶν ἐπικρατῆσαν πλεονεκτήσειε. Καταφανέστερα δὲ μᾶλλον τὰ τῶν πολιτειῶν νοσήματα ἴδοι τις, οὐδὲν ἕτερον ὄντα ὅτι μὴ τοῦτ' αὐτὸ μόνον πλεονεκτήματα, τοῦ μὲν οἰκίαν συνάπτοντος τὴν ἑαυτοῦ τῇ τοῦ γείτονος, τοῦ δὲ μὴ ὁμόχωρόν τινα ἔχειν ἀνεχομένου ἢ ἀγρογείτονα, τοῦ δὲ θρέμμα τῶν πλησίον ἢ ἄλλο τι χρῆμα ὑφαιρουμένου εἶθ' ἁρπάζοντος, ἤ, τὸ δεινότερον, ἀλλοτρίας γυναικὸς εὔνοιαν κλέπτοντος, τοῦ δὲ τὸν τῇ αὐτῇ τετιμημένον εἰκόνι κονδυλίζοντος καὶ προςαφαιρουμένου τὴν ἰσηγορίαν τῆς κοινῆς φύσεως.

Καὶ ἵνα μὴ τὰ καθ' ἕκαστον ἄδικα πλεονεκτήματα διεξιόντα ἐπιλείψῃ με ὁ χρόνος, οἶδα τὸν σοφώτατον Ἀπόστολον ἀδικίαν καλοῦντα καὶ τὴν πορνικὴν σύμφθαρσιν· ἀλλήλους γὰρ ἀδικεῖν ἅμα καὶ ὑπ' ἀλλήλων ἀδικεῖσθαί φησι τὴν πορνευομένην καὶ τὸν πορνεύοντα. Ταύτην τὴν κοινὴν λύμην τοῦ βίου καὶ τὸν φθόρον τὸν πάνδημον τίς τῶν νομοθετῶν τῶν ἡμετέρων καὶ τῶν θυραίων οὐ πυρὶ καίων καὶ σιδήρῳ τέμνων καὶ λίθοις βάλλων ἀπελαύνει τῶν πόλεων; τίς οὐ κατηγορεῖ δίκαιος; ποῖος οὐ κατατρέχει διδάσκαλος; ποῖος προφήτης οὐ κατολοφύρεται; Ἀλλ' ἀμήχανον τὸ δεινὸν καὶ ὄντως ἄτρυτον· ἰατρεύεται μὲν γὰρ ὡς ἄλλη τις Βαβυλὼν παρὰ νόμου, παρὰ προφητῶν, ἀποστόλων, διδασκάλων, παρ' αὐτοῦ τοῦ τὰς ἀσθενείας ἡμῶν αἴροντος καὶ τὰς νόσους βαστάσαντος, ἀλλ' οὐχ ὑγιάζεται ἢ ῥᾷστερον γοῦν γίνεται, μᾶλλον μὲν οὖν καὶ πολλῷ χαλεπώτερον ὡς νῦν ἂν μᾶλλον δυςκολαίνοντα τὸν προφήτην ἐκεῖνα πρὸς τὸν θεὸν κατὰ καιρὸν ὀλοφύρεσθαι· Ἕως τίνος, Κύριε, κεκράξομαι καὶ οὐ μὴ εἰςακούσεις, βοήσομαι πρὸς σὲ ἀδικούμενος καὶ οὐ σώσεις; Ἵνα τί μοι ἔδειξας πόνους

1. ἰσοκρατὲς μ: ἰσοκρατῶς Μ  ἕως ἔν γέ τι Μ: ὥστε ἔν τισι μ  ἐπικρατῆσαν πλεονεκτήσειε Μ: ἐπικρατεῖσαν πλεονεκτήσειεν μ  3. ὅτι - τοῦ μὲν Μ: λείπουσι μ  4. συνάπτοντος Μ: λείπει μ  τὴν ἑαυτοῦ ἔγραψα: τῇ ἑαυτοῦ μ: οἰκίαν τῇ ἑαυτοῦ Μ  ὁμόχωρόν τινα Μ: ὁμόχωρον τινὰ μ  6. ἄλλο ἔγραψα: ἀλλό Μμ  εἶθ' Μ: εἰθ μ  ἢ μ: καὶ Μ  9. προςαφαιρουμένου Μ: προςάφαιρουμένου μ  10. καθ' ἕκαστον ἔγραψα: καθέκαστον Μμ  10 - 11. πλεονεκτήματα - ἀπόστολον Μ: λείπουσι μ  13. ἀδικεῖσθαί φησι ἔγραψα: ἀδικεῖσθαι φησὶ Μμ  15. θυραίων Μ: θυρέων μ  17. κατατρέχει Μ: κατέχει μ  19. τις Μ: τίς μ  23. δυσκολαίνοντα Μ: δυσκολένοντα μ  24. εἰςακούσεις ἔγραψα: εἰσακούσῃς Μμ  25. σώσεις Μ: σώσῃς μ  τί μοι Μ: τί μ

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΤΗΣ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΙΩΑΝΝΙΝΑ 2006

καὶ κόπους ἐπιβλέπειν ταλαιπωρίαν καὶ ἀσέβειαν; Ἐξ ἐναντίας μου γέγονε κρίσις καὶ ὁ κριτὴς λαμβάνει. Διὰ τοῦτο διεσκέδασται νόμος καὶ οὐ διεξάγεται εἰς τέλος κρῖμα, ὅτι ὁ ἀσεβὴς καταδυναστεύει τὸν δίκαιον· ἕνεκεν τούτου ἐξελεύσεται τὸ κρῖμα διεστραμμένον. Οὐχὶ σὺ ἀπ' ἀρχῆς Κύριος ὁ θεὸς ὁ ἅγιος; καθαρὸς ὁ ὀφθαλμός σου τοῦ μὴ ὁρᾶν πονηρὰ καὶ ἐπιβλέπειν ἐπὶ πόνους οὐ δυνήσῃ. Ἵνα τί ἐπιβλέπεις ἐπὶ τοὺς καταφρονοῦντας; παρασιωπήσῃ ἐν τῷ καταπίνειν ἀσεβῆ τὸν δίκαιον καὶ ποιήσεις τοὺς ἀνθρώπους ὡς τοὺς ἰχθύας τῆς θαλάσσης καὶ ὡς τὰ ἑρπετὰ τὰ μὴ ἔχοντα ἡγούμενον, καίπερ τοῦ δεσπότου Χριστοῦ οἷς ἐπισκήπτει λέγων «Ὁρᾶτε καὶ φυλάσσεσθε ἀπὸ τῆς πλεονεξίας» ἐγρηγορότας καὶ περιεσκεμμένους παρασκευάζοντος, μὴ καὶ λάθοιμέν που τῇδε προσπταίοντες· πολλὰ γὰρ καὶ πολλαχοῦ τὰ ἑαυτῆς λινοστατεῖ θήρατρα, τὰ μὲν κρύβδην, τὰ δὲ ἀμφαδόν. Μοιχεῖαι μὲν γὰρ καὶ χρημάτων καὶ κτησειδίων ἀφαιρέσεις καὶ θρεμμάτων ἁρπαγαὶ οὐκ ἄδηλον οὐδὲ τοῖς θηριωδεστέροις τῶν αὐτονόμων ἐθνῶν ὡς οὐκ εἰσί τε καὶ λέγονται ἄδικα παρὰ πᾶσι πλεονεκτήματα, κατατοκισμὸς δὲ καὶ ζυγοὶ δόλιοι καὶ σταθμῶν καὶ μέτρων παρακρουσμοὶ καὶ λαβεῖν πλέον τῆς ἀξίας ὁτιποτοῦν ἀποδόμενον ἢ ἔλαττον δοῦναι πριάμενον καπηλείας μὲν ἀνελευθέρου σαφῆ καὶ θεομισῆ κλέμματα· Στάθμιον γάρ φησι μέγα καὶ μικρὸν καὶ μέτρα δισσὰ ἀκάθαρτα ἐνώπιον Κυρίου ἀμφότερα καὶ ὁ ποιῶν αὐτὰ ἐν τοῖς ἐπιτηδεύμασιν αὐτοῦ ὑποσκελισθήσεται· τοῖς γε μὴν

1 ἐξ ἐναντίας M: ἐξεναντίας μ 2. διὰ τοῦτο M: διατοῦτο μ 3. κρῖμα μ: κρίμα M 4. κρῖμα ἔγραψα: κρίμα Mμ 5. κϲ M: κε μ 6. ὁρᾶν M: ὁρὰν μ ἐπιβλέπειν M: ἐπιδλέπειν μ οὐ δυνήσῃ M: ὀδυνήσει μ 7. τοὺς M: τους μ ἀσεβῆ M: ἀσεβεῖς μ 8. ποιήσεις M: ποιήσης μ τοὺς ἀνθ. M: ἀνθ. μ 9. δεσπότου M: δέσπου μ 10. φυλάσσεσθε M: φυλάσσεσθαι μ 11. περιεσκεμμένους παρασκευάζοντος M: περισκεπομένους παρασκευάζοντας μ 12. προσπταίοντες πολλὰ M: προσπαίοντες· καὶ πολλὰ μ 13. λινοστατεῖ M: λινοσταγῆ τοῦ ν διωρθωμένου ἐξ ἄλλου γράμματος ἀδιαγνώστου μ ἀμφαδὸν M: αμφαδὸν μ 14. μοιχεῖαι μὲν γὰρ καὶ M: μοιχεία μὲν μ κτησειδίων M: κτησιδίων μ 15. θρεμμάτων M: θερμάτων μ ἄδηλον M: εὔδηλον μ θηριωδεστέροις M: θηριοδεστέροις μ 17. κατατοκισμὸς M: καὶ κατοκισμοὶ μ 18. παρακρουσμοὶ M: παραπικρασμοὶ μ ὁτιποτοῦν M: ὅτι ποτοῦν μ 20. θεομισῆ M: θεομισεῖ μ 22. ὑποσκελισθήσεται M: ὑποσκελισθήσονται μ

Ε.Υ.Δ. ... ΙΩΑΝΝΙΝΑ 2006

ἐν πᾶσι τὸ κέρδος σκοποῦσι καὶ κατὰ τὴν ῥαψῳδίαν κερδαλεόφροσιν ἐμπορευμάτων εὐτυχίαι δοκοῦσι καὶ δεξιότητες συναλλαγμάτων καὶ ἄντικρυς ἕρματα, οἷον κἀκεῖνο εἶδος πλεονεξίας μικροῦ τοῖς πᾶσι διεσπουδασμένον ἀνέδην ὡς οὐχ ὑπεύθυνον τὸ ἀπονέμειν ἑαυτῷ τῶν μὲν ἀγαθῶν, οἷον κτήσεων, ἀτελειῶν καὶ τιμῶν, τὰ πλείω καὶ μείζονα, τῶν δ' ἐπαχθῶν, συνεισφορῶν φημι δημοσίων καὶ λειτουργημάτων, τὰ ὀλίγα δὴ καὶ ἐλάττονα.

Εἰ δ' ἀπὸ τῶν οὕτω προὔπτων καὶ δημοκαταράτων πλεονεξιῶν φυλαττόμεθα κατὰ τὸ δεσποτικὸν παράγγελμα, σχολῇ γ' ἂν τὸ ἀμετάδοτον ὡς ἄδικον πλεονέκτημα φυλαξαίμεθα, καὶ ταῦτα ἐσχάτης ὂν ἀδικίας τὸ μὴ μεταδιδόναι ὧν ἔχομεν τοῖς μὴ ἔχουσιν, ὡς ὁ μόνος ἀποφαίνεται δίκαιος, Εἰ ἐν τῷ ἀδίκῳ, φάσκων, Μαμωνᾷ πιστοὶ οὐκ ἐγένεσθε, τὸ ἀληθινὸν τίς ὑμῖν πιστεύσει, καὶ εἰ ἐν τῷ ἀλλοτρίῳ πιστοὶ οὐκ ἐγένεσθε, τὸ ὑμέτερον τίς ὑμῖν δώσει; Δίκαιος εἶ, φιλόπτωχε Κύριε, καὶ εὐθεῖαι αἱ κρίσεις σου. Τὸ γὰρ ἐμὲ μὲν ἐνευπαθεῖν τοῖς περιττοῖς καὶ ὑπὲρ τὴν χρείαν ἢ μᾶλλον τοῖς ἀλλοτρίοις, τὸν δ' ἀδελφὸν τῶν ἐπιβαλλόντων αὐτῷ στερούμενον καὶ αὐτῶν τῶν πρὸς τὸ ζῆν ἀναγκαίων πένεσθαι ἡλίκης πλεονεξίας ἀδίκημά ἐστιν; Ἆρ' οὐκ ἠλιβάτου τινός; Ὡς γὰρ κοινοῦ τινος πατρὸς τὴν οὐσίαν διανειμαμένου τοῖς παισίν, εἴπερ ἔνιοι τῶν παίδων αὐτοὶ μὲν ἰδιώσονται τὰ πατρῷα πάντα, τοὺς δ' ὁμοκλήρους ἀδελφοὺς ἐξωθήσουσιν ἀμοίρους πάντη, οὐκ ἔσθ' ὅπως οὐχ οἱ μὲν ἀδικώτατοι κριθεῖεν ἂν τοὺς ὁμοσπόρους πλεονεκτοῦντες, οἱ δὲ πλεονεκτούμενοι ἀδικεῖσθαι τὰ ἔσχατα, οὕτω καὶ ἐφ' ἡμῶν εἷς μὲν κοινὸς ἁπάντων πατὴρ ὁ θεός, ἀδελφοὶ δὲ πάντες ἡμεῖς καὶ τῶν ἐκείνου κληρονόμοι πάντες ἰσόμοιροι. Εἰ γοῦν οἱ μοχθηρότεροι τῶν

1. ἐν M: λείπει μ  σκοποῦσι M: σκορποῦσι μ  καὶ M: λείπει μ  ῥαψῳδίαν κερδαλεόφροσιν M: ῥαψοδίαν κερδαλαιόφροσι μ  4. ἀνέδην M: ἀνένδην μ  ἑαυτῷ M: ἑαυτὸν μ  5. ἀτελειῶν M: ἀτελῶν μ  6. δ' M: δὲ μ  φημι M: φημὶ μ  7. ὀλίγα M: ὀλίγου μ  8. προὔπτων M: προύπτων μ  9. σχολῇ γ' ἂν M: σχολὴ γᾶν μ  10. ὂν M: ὄν μ  13. ὑμῖν πιστεύσει M: ἡμῖν πιστεύσῃ μ  εἰ M: οἱ μ  14. εὐθεῖαι M: εὐθεῖς μ  15. ἐνευπαθεῖν M: ἐνεύπαθεῖν μ  16. τῶν ἐπιβαλλόντων M: ἐπιβαλλόντες μ  17. ἀναγκαίων M: ἀναγκαῖον μ  18. ἀδίκημά ἐστιν M: ἀδίκημα ἐστὶν μ  19. κοινοῦ τινος M: κοινῶς μ  διανειμαμένου M: διανημαμένου μ  20. ἔνιοι M: ἔνειοι μ  23. εἷς M: ὁ εἷς μ  25. ἰσόμοιροι M: ἰσόμυροι μ

Ε.Υ.Δ της ΚΕ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὁμογενῶν τὰ ἐν τῇ τοῦ πατρὸς ἑστίᾳ, τῷ κόσμῳ τούτῳ, οἰκειούμενοι μόνοι, τοῖς λοιποῖς χαίρειν φράζομεν, οὐκ ἀδικοῦμεν παρ' οἱουςδήτινας πλεονέκτας, οὐ μισαδελφοῦμεν, εἴτ' οὖν ἀδελφοκτονοῦμεν; Ἐγὼ μὲν οἶμαι, μᾶλλον δὲ σαφῶς οἶδα πιστεύων τοῖς λόγοις τοῦ πνεύματος. Ναί φησιν· ἀλλ' ὡς ἐγὼ ταῖς παρὰ τοῦ πατρὸς δεδομέναις ἀφορμαῖς προσταλαιπωρῶ καὶ τοὺς πόνους ἐσθίω τῶν οἰκείων καρπῶν, οὕτω πᾶς ἀδελφὸς ἀδελφὰ πονείτω καὶ τρεφέσθω καὶ μὴ πάλαι μαθὼν ἀργὰ σῖτα ψωμίζεσθαι τοῖς παρ' ἄλλων ἀληλεσμένοις μόχθοις ἐπιχασκέτω, ἄσπαρτα καρπιζόμενος καὶ ἀνήροτα. Πόνοις, ὦ γενναῖε, καρπῶν σου φὴς τρέφεσθαι. Ἔστωσαν πόνοι καρπῶν σου. Οὐκοῦν τίμα τὸν Κύριον ἀπὸ σῶν δικαίων πόνων. Οὐκ ἀρχὰς ζητεῖ παρὰ σοῦ ὡς παρὰ τῶν παλαιῶν πρότερον, οὐ πρωτότοκα, οὐ δεκάτας, οὐχ ἱερεῖα, οὐ τὰ καὶ τά, φιλανθρωπίαν δὲ μόνην καὶ πρὸς τὸ πενόμενον συγγενὲς χρηστότητα, κἂν ὡς φὴς ἑκουσίως πτωχεύῃ βλακευόμενον ὡς περὶ τοὺς πόνους ἀπάλαμνον. Οὐ γὰρ ἐφεῖταί σοι τὰ τῶν πενήτων ἔθνη φυλοκρινεῖν, διδόναι δὲ παντὶ τῷ αἰτοῦντι νενομοθέτησαι καὶ τὸν ἄρτον σου ἀποστέλλειν ἐπὶ πρόσωπον ὕδατος καὶ διαθρύπτειν πεινῶσι τοῦτον ὁ τὰ διατεθρυμμένα ψωμίζειν προστεταγμένος. Ἄσπαρτα λέγεις καὶ ὀκνηρὰ τοὺς πενομένους σιτίζεσθαι· ἐγὼ δ' ὅτι καὶ πόνους ἐσθίειν καρπῶν σου τὴν ἀρχὴν ἐκόμπασας, πολλήν σου καὶ τὴν ἀβελτερίαν κατέγνωκα ὡς οὐκ εὐχαρίστου περὶ τὸν εὐεργέτην καὶ διδόντα σοι ἄρτον σπείροντι. Τίς γὰρ ὑπέζευξέ σοι βοῦν ἀροτῆρα; τίς εἰς γονὰς ἐπετείους τὴν γῆν ἐπέρρωσε; τίς ὑετίζων καὶ θάλπων ἐκτρέφει σοι τὰ φυόμενα; τίς σοι τὸν κύκλον τοῦ ἐνιαυτοῦ τελεσφόροις ὥραις τετραγωνίζων εὐετηρίαν φερέκαρπον ἄνευ ψόγου χαρίζεται; Εἴπω τὸ προχειρότατον· τί γάρ φησιν ἔχεις ὃ οὐκ ἔλαβες; τὰς χεῖρας αὐτάς,

5. ναί φησιν Μ: ναὶ φησὶν μ  Ἐν τῇ ᾤᾳ βραχυγραφικῶς ἀντίθεσις μ  7. πάλαι Μ: πάλιν μ  8-9. ἐπιχασκέτω Μ: ἐπισχασκέστω μ  9. ἀνήροτα Μ: ἀνήροτρα μ  10. φὴς ἔγραψα: φῆς Μ: τροφῆς μ  11. σῶν Μ: πασῶν μ  ζητεῖ Μ: ζητεῖτε μ  13. πενόμενον Μ: παινόμενον μ  14. φὴς ἔγραψα: φῆς Μμ  15. ἀπάλαμνον Μ: ἀπάλλαμνον μ  ἐφεῖταί ἔγραψα: ἐφεῖται Μμ  16. νενομοθέτησαι Μ: νενομοθέτηται μ  19. σιτίζεσθαι Μ: σιτίζεσθε μ  δ' Μ: δὲ μ  20. ἐκόμπασας Μ: ἐκόπασας μ  καὶ μ: λείπει Μ  20-21. ἀβελτερίαν ἔγραψα: ἀβελτηρίαν Μμ  22. ὑπέζευξέ Μ: ὑπέζευξαί μ  23. ἐπετείους Μ: ἀπετείους μ  24. τὰ φυόμενα Μ: ταφυόμενα μ  τις Μ: τί μ  26. γάρ φησιν Μ: γὰρ φησὶν μ

Ε.Υ.Δ της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

δι᾽ ὧν φιλεργεῖς, τίς πρὸς πόνους ἐκράτυνεν ἢ πάντων τεχνίτιδας εἴργαστο; Ἢ οὐκ ἀκούεις ὅπως ὁ φιλόθεος Δαβὶδ καὶ ὑπὲρ αὐτῆς τῆς περὶ τὰ πολέμια ἔργα τῶν χειρῶν καὶ τῶν δακτύλων εὐφυΐας τὸν δημιουργὸν ἐξύμνησεν, Εὐλογητὸς, ᾄδων, Κύριος ὁ θεός μου ὁ διδάσκων τὰς χεῖράς μου εἰς παράταξιν καὶ τοὺς δακτύλους μου εἰς πόλεμον; Καὶ πῶς σὺ τὰς χεῖρας ὡς φιλεργούς τινας καὶ μεγαλουργοὺς μόνον οὐ φιλεῖς τοῖς χείλεσι, τοῦτο δὴ ὅπερ ὁ μὲν γενναῖος Ἰὼβ παρανομίαν μεγίστην ἐνόμιζεν, Εἰ δὲ καὶ χεῖράς μου, λέγων, ἐπιθεὶς ἐπὶ στόματί μου ἐφίλησα, καὶ τοῦτό μοι ἄρα μεγίστη ἀνομία λογισθείη, ὅτι ἐψευσάμην ἐναντίον Κυρίου; Ὁ δὲ νόμος, ἀπαγορεύων συμβολικῶς καὶ αὐτὸς ὡς ἐπίρρητον, Ὃς πορεύεται, φησίν, ἐπὶ χειρῶν, ὅ ἐστι ταῖς χερσὶν ἐπερείδεται καὶ τὴν πᾶσαν πεποίθησιν ἐπ᾽ αὐταῖς ἔχει, ἀκάθαρτος. Καὶ ὁ μὲν μακάριος Ἰακὼβ, Ἐὰν δῷ μοι θεὸς ἄρτον φαγεῖν καὶ ἱμάτιον περιβαλέσθαι, λέγων, διδάσκει οὐχ οἵαν τε εἶναι κτᾶσθαι ταῦτα τὴν ἀνθρωπίνην ἀδράνειαν, μὴ τοῦ θεοῦ δυναμοῦντος καὶ διδόντος τὸ δύνασθαι· ἡμεῖς δ᾽ ἀνεπαίσθητοι μὲν ὄντες τῆς ἡμῶν πτωχείας, ἀξύνετοι δὲ τῆς παντρόφου χειρὸς, τολμῶμεν λέγειν, ὡς αὐτοὶ μὲν οἷς πονῶμεν τρεφόμεθα, πένητες δὲ ἀργὰ σῖτα καὶ παρ᾽ ἄλλων διατεθρυμμένα ψωμίζονται, ἵνα μηδ᾽ ἐλεῶμεν τοὺς ἄνδρας τῆς συμφορᾶς, δι᾽ ἀπεχθείας δὲ μᾶλλον ἄγωμεν ὡς κηφῆνας καὶ πόνων δαιτυμόνας ἀλλοτρίων καὶ ἄχθος ἀρούρης ἐτώσιον, δέον μᾶλλον φίλους ποιεῖσθαι κατὰ τὴν δεσποτικὴν ὑποθήκην ἐκ τοῦ Μαμωνᾶ τῆς ἀδικίας, ὅπως εἰς τὰς ἑαυτῶν αἰωνίους σκηνὰς ἐκλείποντας ἀντιξεναγωγήσωσι, καὶ τὸν οἰκονόμον μιμεῖσθαι τῆς ἀδικίας, ὃς ἀφαιρούμενος ἤδη τὴν οἰκονομίαν, ἐπεὶ σκάπτειν οὐκ ἴσχυε καὶ ἄλλως

1. φιλεργεῖς Μ: φιλεργοῖς μ 3. τῆς περὶ Μ: λείπουσι μ 3. καὶ τῶν μ: καὶ Μ 5. χεῖράς ἔγραψα: χεῖρας Μμ εἰς Μ: εις μ 6. φιλεργούς τινας Μ: φιλεργοὺς τινὰς μ 8. χεῖράς ἔγραψα: χεῖρας Μμ λέγων Μ: λέγω μ 13. ἰακὼβ Μ: ἰὼβ μ 14. περιβαλέσθαι Μ: περιβαλλέσθαι μ οἵαν Μ: οἷαν μ 15. κτᾶσθαι Μ: κτᾶσθε μ ἀδράνειαν Μ: ἀνδρείαν μ 16. δ᾽ ἀνεπαίσθητοι Μ: δανεπαίσθητοι μ 19. ψωμίζονται Μ: ψωμίζωνται μ μηδ᾽ ἔγραψα: μὴδ Μμ 20. δι᾽ ἀπεχθείας Μ: διαπεχθείας μ 21. δαιτυμόνας Μ: δαιτημόνας μ ἀρούρης Μ: ἀρρούρης μ 24. ἀντιξεναγωγήσωσι μ: ἀντιξεναγήσωσι Μ ὃς Μ: ὂν μ 25. ἴσχυε Μ: ἰσχυε μ

ΙΩΑΝΝΙΝΑ 2006

ἐπαιτεῖν ᾐσχύνετο, τοῖς ὀφειλέταις τοῦ κυρίου αὐτοῦ ἔγνω φρονίμως ἐπανεῖναι τὰς ὀφειλάς, τὴν παρ' αὐτῶν ἀντιφιλοφρόνησιν μνημονευόμενος.

Ἀλλὰ τὰς μὲν οὕτω κακοήθεις σκήψεις ἔρρειν ἐάσωμεν, μήτε δὲ πλοῦτον ὡς μακαριστόν τι χρῆμα θαυμάζωμεν, μήτε πενίαν ὡς ἐπίσπαστον κακὸν βλασφημῶμεν ἢ ὡς ἄλλως φευκτὸν ἀτιμάζωμεν· συμβάλλονται καὶ γὰρ εἰς τὴν τοῦ παντὸς ἁρμονίαν τὰ τοιαῦτα, καὶ ὥςπερ ἀντίθετα μὲν ἡμέρα καὶ νύξ, χειμὼν καὶ θέρος, ὑγίεια καὶ νόσος, ζωὴ καὶ θάνατος κἀν τοῖς στοιχείοις οὐ μόνον τῶν σωμάτων τὰ μὲν ψυχρά, τὰ δὲ θερμά, τὰ μὲν ξηρά, τὰ δὲ ὑγρά, ἀλλὰ καὶ τῶν γραμμάτων ἃ μέν εἰσιν ἄφωνα, ἃ δὲ φωνήεντα, καὶ γῆ μὲν ὡς ἑστία τις ἢ τοῦ παντὸς κέντρον ἀκίνητος ἕστηκεν, οὐρανὸς δὲ περὶ αὐτὴν ἀεὶ στρέφεται, τοῦ δὲ κυκλοφορικοῦ τὸ μὲν ἀπλανές, τὸ δὲ πλανώμενον καὶ τὸ μὲν ἔνθεν ἑλίσσεται, τὸ δ' ἐκεῖθεν ἀνθελίσσεται, εἰς μίαν μέντοι συμφωνίαν συντηρητικὴν τοῦ παντὸς τὰς ἀντιθέσεις ταύτας ὡς φθόγγους ὀξεῖς καὶ βαρεῖς ὁ τεχνίτης λόγος ἐρρύθμισεν, οὕτω καὶ πενίαν καὶ πλοῦτον, εἰ καὶ ἄλλως ἀντίκεινται, ὅμως κερασάμενος πανσόφως ἡρμόσατο, ἵνα ὁ μὲν πενόμενος, οἷά τις γενναῖος ἀθλητὴς ἐπὶ κοινοῦ θεάτρου τοῦ βίου τουδὲ τοῖς ἀργαλέοις ἐγκονιασάμενος, καρτερίας ἀναδήσηται στέμματα, ἢ δίκαιος ἀναφαινόμενος διὰ τῆς πάλης ὡς ὁ Ἰὼβ ἢ τοῖς ἐκεῖσε κόλποις τοῦ Ἀβραὰμ παρακαλούμενος ὡς ὁ Λάζαρος ἢ ταῖς ἐνταῦθα κακοπαθείαις ἀμβλύνων τὰ μέλλοντα κολαστήρια, ὁ δὲ πλουτῶν ἔχῃ μιμεῖσθαι θεὸν καὶ θεὸς ἄλλος τῷ προςδεεῖ γίνηται, δι' ὧν εὖ πέπονθεν εὖ ποιῶν ἕτερον καὶ τὴν πρὸς θεὸν ὁμοίωσιν ἀκριβούμενος. Οὐδὲν γὰρ οὕτως ἐμφερέστατον θεῷ χαρακτῆρα περίκειται ἄνθρωπος ὡς τὸ εὖ ποιεῖν καὶ τὸ φιλοι-

1. ὀφειλέταις Μ: ὀφιλέταις μ 2. ἐπανεῖναι Μ: ἐπαινειναι μ 4. σκήψεις Μ: σκῆψις μ 5. μήτε Μ: μήτισ μ 6. φευκτὸν Μ: φεῦ κτὸν μ 8. ὑγίεια ἔγραψα: ὑγεία Μμ 9. κἀν ἔγραψα: κἂν Μμ 10. τὰ μὲν ψυχρὰ Μ: μὲν ψυχρὰ μ 11. μέν εἰσιν ἔγραψα: μὲ'ν εἰσὶν Μ: μὲν εἰσὶ μ 12. τις ἔγραψα: τίς Μμ οὐρανὸς Μ: ὁ οὐρανος μ Ἐν τῇ ὤρᾳ ὅρα περὶ οὐρανοῦ μ 14. δ' Μ: δὲ μ 15. συντηρητικὴν Μ: συντηριτικὴν μ 16. ἐρρύθμισεν ἔγραψα: ἐρύθμισεν Μ: ἐρύθμισεν μ 19. Ἐν τῇ ὤρᾳ Ϛ ἡ ^αι^ μ 20. ἀναδήσηται Μ: ἀναδύσεται μ 22. ἀμβλύνων Μ: αμβλύνων μ 23. ἔχῃ ἔγραψα: ἔχει Μμ μιμεῖσθαι Μ: μιμεῖσθε μ 24. γίνηται ἔγραψα: γίνεται: Μμ τὴν Μ: λείπει μ 25. οὕτως Μ: οὕτω μ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ... ΦΙΛΟΣΟΦΙΑΣ
Ε.Υ. ... ΙΩΑΝΝΙΝΑ 2006

κτον, καὶ ἦμεν ἂν οἱ κατ' εἰκόνα θεοῦ τοῦ μεγίστου καὶ συγγενεστάτου θεῷ χαρακτῆρος ἐνδέοντες, εἰ, πάντων πλουτούντων, οὐδεὶς ἐδεῖτο τοῦ εὖ δράσοντος, ἵνα μὴ λέγω καὶ τοῦ δραστικωτάτου καὶ ῥᾴστου τῶν τῆς μετανοίας φαρμάκων καὶ ὡς χρῆσθαι οἷός τέ ἐστι πᾶς σκηπτόμενος μήτε νηστεύειν ἔχειν μήτε δακρύειν ἢ ἀγρυπνεῖν ἢ χαμευνεῖν, ὡς οὐδὲ σκάπτειν ἢ ἐπαιτεῖν ὁ προειρημένος οἰκονόμος τῆς ἀδικίας. Ἀλλ' ὁ μὲν θεὸς ὡς ἀγαθὸς πεποίηκέ τε κατ' ἰδίαν εἰκόνα καὶ φυσικῶς ἐνεστάλαξεν ἡμῖν τὸ ἐλεεῖν καὶ οἰκτίζεσθαι ὡς τῆς αὐτοῦ χρηστότητος ἐναργεῖς ὁμοιότητας, ἵνα δὲ τὸ φυσικῶς ἐνεσπαρμένον τοῦτο καλὸν ἔχοιμεν καὶ ἔργοις ἐπεξεργάζεσθαι, πλοῦτον καὶ πενίαν φέρων εἰς μέσον προὔθηκεν. Ἡμεῖς δὲ δι' ὧν ἐξεικονιστέον ἐστὶν ἐμφερέστερον τὸ θεοείκελον ὁμοίωμα, τούτοις μᾶλλον διαλωβώμενοι παραφθείρομεν, ὠμόσπλαγχνοι διὰ τὸν πλοῦτον καὶ ἄλλως ὑβρισταὶ γινόμενοι, οὐ παραμυθούμενοι τὴν ἔνδειαν τοῖς πενομένοις, ὅτι μὴ καὶ μᾶλλον προστρίβοντες· διπλῆν γὰρ πλεονεξίαν νοσοῦμεν οἷς οὔθ' ἃ πεπιστεύμεθα κατὰ τοὺς πιστοὺς καὶ φρονίμους οἰκονόμους εὖ διατιθέμεθα, καὶ εἴ τί που τοῖς ἀσθενεστέροις τῶν ἀδελφῶν ὕπεστι βραχὺ παρηγόρημα, μισανθρώπως καὶ τοῦτο προσαφαιρούμεθα. Ἐξέστη, φησίν, ὁ οὐρανὸς ἐπὶ τούτῳ καὶ ἔφριξεν ἐπὶ πλεῖον ἡ γῆ, λέγει Κύριος, ὅτι δύο καὶ πονηρὰ ἐποίησεν ὁ λαός μου. Ἔφριξα δὲ καὶ αὐτὸς αἴφνης ἐνθυμηθεὶς ὅπως οἱ πάλαι μὲν τῶν μισανθρώπων δαιμόνων θεραπευταὶ καὶ βωμὸν Ἐλέου ἱδρύσαντο, ἀποθειάζοντες δήπου τὸ

1. συγγενεστάτου M: συνεστάτου μ  2. οὐδεὶς M: οὔδεις μ  3. δραστικωτάτου M: εὖ δράσοντος μ  4. φαρμάκων M: φαρμαίσων μ  οἷός ἔγραψα οἶος Mμ  ἐστι M: ἐστιν μ  5. ἔχειν μ: ἔχει M  7. ὡς ἀγαθὸς M: λείπουσι μ  ἰδίαν M: εἰδείαν μ  8. ἐνεστάλαξεν M: ἀνεστάλαξεν μ  9. ἐναργεῖς M: ἐνάργεῖς μ  φυσικῶς M: φυσικῶς ἐνεστάλαξέν μ  10. ἐπεξεργάζεσθαι M: ἐπεργάζεσθαι μ  11. προὔθηκεν M: προύθηκεν μ  ἐξεικονιστέον ἔγραψα: ἐξεικονιστέόν M: ἐξικονιστέον μ  ἐστὶν μ: ἐστιν M  13. ὠμόσπλαγχνοι M: ὀμόσπλαγχνοι μ  14. καὶ M: λείπει μ  15. προστρίβοντες διπλῆν M: προτρίβοντες διπλὴν μ  16. φρονίμους M: φρονήμους μ  17. τί ἔγραψα: τι Mμ  που M: ποῦ μ  18. παρηγόρημα M: παραγρηγόρημα μ  μισανθρώπως M: μισάνως μ  προσαφαιρούμεθα M: προσαφερούμεθα μ  19. ἐπὶ πλεῖον M: ἐν πλείω μ  20. πονηρὰ M: πονηρᾶ μ  καὶ M: λείπει μ  21. ἐνθυμηθεὶς M: ἐνθυμηθεῖς μ  μισανθρώπων M: μισάνων μ  22. θεραπευταὶ M: θεραπευται μ  ἱδρύσαντο ἔγραψα: ἱδρύσαντο Mμ

ΕΡΓΑΣΤΗΡΙΟ ΔΙΕΥΘΥΝΣΗ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
Ε.Υ. Δ.Π.Τ. Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

φιλανθρωπεύεσθαι, παρ' ἡμῖν δὲ τοῖς ἠλεημένοις ὑπὸ θεοῦ καὶ θρησκεύουσιν οὐδὲν ἀλλ' ἢ πρὸς ἀνθρώπους θεοῦ ἐπιδημίαν διὰ μόνον ἔλεον ὁ παρ' αὐτῆς τῆς φύσεως τοῖς ἡμετέροις σπλάγχνοις ἐνιδρυμένος Ἐλέου βωμὸς ἀποκέκλεισται ἢ ἀνατέτραπται ὡς μήθ' ὅσα ἠλεήμεθα λογιζομένοις μήθ' ὅσον ἐλεηθήσεσθαι δεησόμεθα, ἡνίκα ὡς αὐτοὶ νῦν ἐλεοῦμεν ἐλεηθησόμεθα.

Ἀπόχρη μὲν ταῦτα ἐς νουθεσίαν μετρίαν τοῖς ἀπλήστοις τὴν ἔφεσιν· ἵνα δὲ μὴ κἀνταῦθα ὡς πανταχοῦ τὸ ἔλαττον ἔχοντες ἀπέλθοιεν οἱ μειονεκτούμενοι, ἐν τῷ λόγῳ γοῦν τὴν ἐπιβάλλουσαν ἰσομοιρίαν ἀπολαβέτωσαν. Παράκλησις δὲ ἔσται τούτοις ἅμα καὶ συμβουλὴ μεγαλοψύχως φέρειν ἀδικουμένους καὶ μὴ καταστενάζειν τῆς ἀνωτάτω προνοίας οἷς ἄδικα καὶ πολλὰ σχέτλια πάσχουσι καὶ οὐ παρ' αὐτὰ τὴν δίκην ὁρῶσι τιμωρὸν ἤκουσαν ὡς βραδύπουν οὖσαν τὰ πλεῖστα καὶ ἀεὶ διαμέλλουσαν, εἰ καὶ πολύπους ἄλλως καὶ πολύχειρ ἐφίσταται ὅτ' ἐφίσταται καὶ σὺν τόκῳ τὰς εὐθύνας εἰςπράττεται. Ἡ μὲν δὴ θύραθεν φιλοσοφία Βουλοίμην, φησί, μήτ' ἀδικεῖν μήτ' ἀδικεῖσθαι, εἰ δ' ἀναγκαιοῦν θάτερον, ἑλοίμην μᾶλλον ἀδικεῖσθαι ἢ ἀδικεῖν. Ἡ δὲ κατὰ Χριστὸν θεοσοφία, Ἵνα τί ἀδικεῖτε, λέγει, καὶ ἀποστερεῖτε, ἀλλ' οὐ μᾶλλον ἀδικεῖσθε καὶ ἀποστερεῖσθε, πολλῷ δήπου φιλοσοφοῦσα σεμνότερον, καθότι ἐκείνη μέν, ἡγουμένη κακὸν τό τ' ἀδικεῖν καὶ τὸ ἀδικεῖσθαι, ὡς ἐν παραθέσει δυοῖν ἀναγκαίοιν τὸ ἀδικεῖσθαί φησιν ἕλοιτ' ἂν μᾶλλον ὡς κακοῦ κακὸν ἄμεινον, αὕτη δὲ ὡς καθάπαξ οὐκ ἀνάγκῃ, γνώμῃ δὲ μᾶλλον αἱρετὸν τὸ ἀδικεῖσθαι καὶ ἀποστερεῖσθαι τοῖς εὐαγγελικοῖς μαθηταῖς ὑποτίθεται, ἀμέλει τοι καὶ ἐπιτιμητικώτερον ἐγκελεύεται φεύγειν μὲν ἀδικίαν καὶ ἀποστέρησιν, ἀγαπᾶν δὲ μᾶλλον ἀδικουμένους καὶ ἀποστερουμένους αὐτούς. Καὶ εἰκότως· τὰ μὲν γὰρ τῶν θείας μοίρας ἀποπεπτωκότων δυςκλήρημα

1. φιλανθρωπεύεσθαι Μ: φιλανθρωπέδεσθαι μ  2. πρὸς Μ: πρὸς πρός μ  3. ἔλεον Μ: ἔλαιον μ  4 (καὶ 5). μήθ' Μ: μήθ' μ  10. ἀπολαβέτωσαν Μ: ἀποβαλλέτωσαν μ  ἅμα καὶ Μ: ἅμα μ  11. τῆς Μ: τοῖς μ  12. παρ' αὐτὰ Μ: παραυτὰ Μ  13. οὖσαν Μ: οὖσαν μ  15. εἰςπράττεται μ: εἰςπράττε^σθαι^ται Μ  17. εἰ δ'- ἀδικεῖσθαι Μ: λείπουσι μ  18. θεοσοφία Μ: φιλοσοφία μ  19. ἀλλ' οὐ-ἀποστερεῖσθε Μ: λείπουσι μ  20. τό τ' Μ: τὸ μ  21-22. ἀδικεῖσθαί φησιν ἔγραψα: ἀδικεῖσθαι φησὶν Μμ  22. ἕλοιτ' Μ: ἕλοιττ' μ  25. μὲν Μ: λείπει μ  27. δυσκλήρημα Μ: δισκλήρημα μ

Ε.Υ.Δ της Φ.Ε.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἢ ἁμάρτημα, τὸ δ' ἀδικεῖσθαι καὶ ἀποστερεῖσθαι τῷ χορῷ τῶν μακαρίων ὡς οἰκειοπραγία τις ἀναγκαία τῆς κατ' αὐτοὺς ἀρετῆς ἀποκεκλήρωται. Καί μοι παρ' ἀλλήλους καὶ κατὰ συστοιχίαν τοὺς ἠδικημένους καὶ ἠδικηκότας θέμενος, ἑκατέρους ἀντιπαρεξετάζεται, ἀπ' αὐτῶν τῶν πρώτων ἀνθρώπων ἀρχόμενος καὶ διὰ τῆς τῶν μεταξὺ καταβαινόντων ἱστορίας καὶ εἰς αὐτὸν τὸν δεύτερον καταβαίνων Ἀδάμ. Καί μοι ἐρομένῳ ἀπόκριναι, ποτέροις ἂν εὔξαιο συντάττεσθαι, τοῖς γενάρχαις ἐπιβουλευομένοις ἢ τῷ ἐπιβουλεύοντι ὄφει; τῷ Ἄβελ ἀδελφοκτονουμένῳ ἢ τῷ Κάϊν ἀδελφοκτονήσαντι, τῷ Νῶε καταγελωμένῳ ἢ καταγελῶντι τῷ Χάμ; Κάτιθι ἐπὶ τοὺς ἠδικημένους μάλιστα καὶ παρὰ τοῦτο, οἶμαι, δεδικαιωμένους μάλιστα, τοὺς περὶ τὸν Ἀβραὰμ θείους πατέρας ἡμῶν, οἷς διὰ τῆς πίστεως εἰσεποιήθης καὶ παρ' ὧν οἷά τινα πατρῷον κλῆρον διαβαίνοντα καὶ πρός σε τὸ ἀδικεῖσθαι καὶ ἀποστερεῖσθαι οὐκ ἀπαξιώσαις ἂν δήπου κληρονομεῖν, πατρώζειν βουλόμενος. Εἰ μὴ τέκνον εἶναι μάτην κομπάζεις τῶν περὶ τὸν Ἀβραάμ, διὰ πίστεως ζημιουμένων μὲν ὀρυττόμενα μόχθῳ πολλῷ φρέατα, ἀφαιρουμένων δὲ παρ' Αἰγυπτίων καὶ Φιλισταίων ἀγαθὰ τῷ εἴδει γύναια, χαῖρε, τὸ συγγενὲς διὰ ταὐτοπαθείας βεβαιούμενος. Τίς οὐ μετὰ Ἰακὼβ ἕλοιτο μᾶλλον συναδικεῖσθαι ἢ τῷ Σύρῳ Λάβαν συναδικεῖν; Τίς οὐ τῷ καλῷ Ἰωσὴφ εἰς λάκκον συμβεβλῆσθαι μᾶλλον ἂν ἀγαπήσειεν ἢ τῷ μισαδέλφῳ συνεστιᾶσθαι συστρέμματι καὶ μᾶλλον εἰς Αἴγυπτον ὁμόδουλον ἐκείνῳ συναπάγεσθαι ἢ οἴκοι συνεῖναι τοῖς ἀποδομένοις ὡς ἄνετον; Πῶς δ' ἂν Ἰὼβ ἀνεφάνη δίκαιος, εἰ μὴ

2. τις ἔγραψα: τίς Μμ ἀναγκαία Μ: ἀναγκαῖα μ 3. παρ' ἀλλήλους μ: παραλλήλους Μ κατὰ συστοιχίαν Μ: καταστοιχείαν μ ἠδικημένους Μ: ἠδικημένους μ 4. ἀντιπαρεξετάζεται ἔγραψα: ἀντιπαρεξετάζετε Μ: ἀντιπαρετάζετο μ Ἐν τῇ ᾤᾳ σύγκρισις χειρὶ νεωτέρᾳ μ 5. καταβαινόντων Μ: καταβαίνων μ 7. ἐρομένῳ Μ: ἐρωμένω μ γενάρχαις Μ: γεννάρχαις μ 8. ἢ τῷ Μ: ἢ τὸν μ 9. ἀδελφοκτονήσαντι Μ: αδελφοκτονήσαντι μ 10. καταγελῶντι τῷ Μ: καταγελόντι τὸν μ ἐπὶ Μ: ἐπὶ μ 11. παρὰ τοῦτο οἶμαι δεδικαιωμένους Μ: παρατοῦτο οἶμαι δεδικαιομένους μ 14. ἀπαξιώσαις Μ: ἀπαξιώσεις μ 16. ὀρυττόμενα Μ: ὀρυττόμενθα μ 17. αἰγυπτίων Μ: αἰγυπτίων μ φιλισταίων μ: φυλιστιαίων Μ τῷ Μ: τῷ κατὰ διόρθωσιν τοῦ τὸ πρῶτον γραφέντος τὼ μ 18. ταὐτοπαθείας ἔγραψα: ταυτοπαθείας Μμ 19. συναδικεῖσθαι Μ: συναδικεῖσθαι μ 20. συμβεβλῆσθαι Μ: συμβεβλεῖσθαι μ 21. συνεστιᾶσθαι Μ: συνεσθιάσαι μ 22. οἴκοι Μ: οἴκοις μ

παρὰ τῆς αὐτοδικίας ἐπεπόνθει πάνθ' ὁμοῦ ἀδικήματα; Καὶ ἵνα
παραδράμω Δαβὶδ φεύγοντα καὶ Σαοὺλ διώκοντα Ἠλίαν τε φυγάδα
καὶ διώκτριαν Ἰεζάβελ καὶ τἄλλα σμήνη τῶν προφητῶν καὶ τῶν
κακῶς δεδρακότων αὐτούς, ἀναμνήσθητε ὅπως μὴ κατ' ἄνδρα μόνον,
ἀλλ' ἤδη καὶ κατ' ἔθνη ἀσεβεῖς μὲν ἠδίκουν, ἠδικοῦντο δὲ θεοσεβεῖς καὶ
τὸ ἰσραηλιτικόν ποτε ἅγιον ἔθνος κακῶς ἔπασχε παρ' Αἰγυπτίων πρό-
τερον καὶ παρ' Ἀσσυρίων ὕστερον. Τί παρεισκυκλῶ τῷ λόγῳ πάντα
ὁσίων ἠδικημένων κατάλογον; Ὁ κοινὸς ἁπάντων σωτὴρ καὶ δεσπό-
της τοσούτῳ ἀδικεῖσθαι παρὰ πάντων ἠνέσχετο, ὅσῳ καὶ πάθη δε-
σποτικὰ τοῖς δουλικοῖς ἀπαράβλητα καὶ κατ' ἴχνος τούτου πεπόνθασι
παραπλήσια πάντες ἀπόστολοι καὶ πάντες μάρτυρες.

Οὕτω τοῖς ὀλίγοις καὶ σωζομένοις τὸ ἀδικεῖσθαι πάτριον, τὸ δ'
ἀδικεῖν τοῖς πολλοῖς ἀπολλυμένοις ἐθελοκάκως συγκεκλήρωται. Εἶτα
τίς οὐκ ἂν ἀσπασίως ἕλοιτο μᾶλλον ἀδικούμενος προσχωρεῖν τῷ χορῷ
τῶν δεδικαιωμένων οἷς ἠδίκηνται ἢ ἀδικῶν αὐτομολεῖν ἐπὶ τοὺς μι-
σοῦντας τὰς ἑαυτῶν ψυχὰς δι' ὧν τὴν ἀδικίαν ἠγάπησαν; Ἄριστα
οὖν, ὡς εἴπομεν, ἡ μὲν ἀποστολικὴ μεγαλοφωνία Ἵνα τί ἀδικεῖτε
καὶ ἀποστερεῖτε, ἀλλ' οὐ μᾶλλον ἀδικεῖσθε καὶ ἀποστερεῖσθε; διακε-
λεύεται, ἡ δὲ συμβολικὴ νομογραφία τρυγόνα μὲν καὶ περιστερὰν καὶ
πρόβατον καὶ μόσχον καὶ τἄλλα δὴ τὰ ἐπηρεαζόμενα θυτέα εἶναι
καὶ βρωτέα ὡς καθαρὰ διωρίσατο, ἀετὸν δὲ καὶ ἱέρακα καὶ καταρρη-
κτῆρα καὶ εἴ τι ἄλλο πτερωτὸν ἀγκυλόχειλον καὶ γαμψώνυχον ἢ θη-
ρίον πονηρὸν καὶ ἐπίβουλον ὡς πορρωτάτω θείας τε καὶ ἀνθρωπίνης

1. παρὰ τῆς αὐτοδικίας ἐπεπόνθει Μ: παραυτοδικίας ἐπεπόθει μ
2. τε ἔγραψα: τὲ Μμ 3. Ἰεζάβελ Μ: Ἰεζάβελ μ τἄλλα σμήνη Μ:
τἄλλα μήνη μ 4 (καὶ 5). κατ' Μ: κατὰ μ 5. ἠδικοῦντο Μ: ἠδικοῦν-
τος μ 6. ἰσραηλιτικόν ποτε Μ: ἰσραηλικὸν ποτὲ μ ἔπασχε Μ:
ἔπασχεν μ 7. παρεισκυκλῶ Μ: ἀντὶ τοῦ παρεισκυκλῶ εἶχεν ἀρχίσει γρά-
φων παρεισκυλ μ 8. κοινὸς Μ: κοινῶς μ 9. παρὰ πάντων ἔγραψα:
παραπάντων μ: παραπάντας Μ 9-10. δεσποτικὰ Μ: δεσποτικὸν μ
10. ἀπαράβλητα Μ: ἀπαραύλητα μ πεπόνθασι Μ: πεπόνθασιν μ
12. ὀλίγοις Μ: λόγοις μ 14. προσχωρεῖν Μ: προσχορεῖν μ
17. ἡ Μ: εἰ μ ἀποστολικὴ μεγαλοφωνία Μ: ἀποστολικὴ φωνὴ μ
18. ἀδικεῖσθε Μ: ἀδικεῖσθαι μ ἀποστερεῖσθε Μ: ἀποστερεῖσθαι μ
19. συμβολικὴ Μ: συμβολικὴ μ 20. τἄλλα Μ: τ' ἄλλα μ θυτέα Μ:
θεῖα τὲ μ 21. διωρίσατο Μ: διορίσατο μ 21-22. καὶ καταρρηκτῆρα—
γαμψώνυχον Μ: λείπουσι μ

Ε.Υ.Δ της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

τραπέζης ἀπελήλακε, μήποτε δὲ καὶ πάντα ἰχθῦν ὡς ἀλληλοφάγον ἀνάξιον ἐκκρίκει θείου βωμοῦ. Διὰ πάντων γὰρ νόμων, φυσικοῦ τε καὶ γραπτοῦ καὶ εὐαγγελικοῦ, παιδεύει θεὸς ἀδικίαν μὲν μισεῖν καὶ βδελύττεσθαι καὶ τῷ ἐργαστηρίῳ τῆς ἀδικίας συναναχρώννυσθαι, Ἐλθέ, παρακαλοῦντι μεθ' ἡμῶν, κοινώνησον αἵματος, τοῖς ταπεινοῖς δὲ μᾶλλον συνυπάγεσθαι καὶ συναδικεῖσθαι καὶ ἀδικουμένους ἀνέχεσθαι καὶ τῶν ἀδικούντων καὶ πλεονεκτούντων ὑπερεύχεσθαι. Οὕτω γὰρ ἐξέσται τοῖς κακῶς πλεονεκτουμένοις καλῶς καὶ φιλοσόφως ἀντιπλεονεκτεῖν ἀνεξικάκῳ μεγαλοψυχίᾳ καὶ καρτερίᾳ ὑπέρφρονι καὶ κατὰ τὸν ἐπαινούμενον τρόπον τόνδε τοῦ πλεονάζειν μακαρίζεσθαι, ὡς ὁ κακῶς πλεονεκτῶν ταλανίζεται· Ὢς, γάρ φησιν, ὁ πλεονεκτῶν πλεονεξίαν κακήν.

Οὐκοῦν ἔστι τις καὶ πλεονεξία καλή, καθ' ἣν καὶ τὸν ἅπαντα μὲν χρόνον καθυπερτερεῖν ἔστι τῶν πλεονεκτούντων κακῶν, οἷον εἰ τὸν καταρώμενον εὐλογεῖς, εἰ τῷ ἀφαιρουμένῳ τὸ χιτώνιον προςεπιρρίπτεις καὶ τὸ ἱμάτιον, εἰ τῷ ῥαπίζοντι τὴν σιαγόνα στρέφεις καὶ τὴν ἑτέραν καὶ τῷ ἀγγαρεύοντι μίλιον ἓν προςτίθεις καὶ δεύτερον. Εἴπω τι καὶ τῶν εὐκταίων. Πολλοῖς θέλεις ἀμύνασθαι τὸν ἐχθρόν; Ψώμιζε πεινῶντα καὶ διψῶντα πότιζε, καὶ τοῦτο ποιῶν ἄνθρακας σωρεύσεις πυρὸς ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καί, ἵνα συνελὼν εἴπω, μὴ νικώμενος ὑπὸ τοῦ κακοῦ ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν. Οὐκ ἔστιν εἰπεῖν ὅσον τῶν κακῶς πλεονεκτούντων καλῶς καὶ εὐαγγελικῶς ἀντιπλεονεκτήσειας, μάλιστα δὲ τῷ παρόντι τῆς νηστείας καιρῷ. Εἰ γὰρ νηστευόντων ἑτέρων ἄχρι καὶ εἰς ὥραν ἐνάτην, αὐτὸς καὶ εἰς δυσμὰς ἡλίου παρατενεῖς τὴν νηστείαν, ἢ καὶ ἐκείνων ἦμαρ παρ' ἦμαρ ἐσθιόντων, σὺ παρὰ δύο ἡμέρας ἀπονηστίζεσθαι φιλεῖς, ὄντως πλεονεκτεῖς

1. ἰχθῦν κατὰ διόρθωσιν τοῦ τὸ πρῶτον γραφέντος ἰχθὺν M: ἰχθὺν μ   3. μισεῖν M: μισεῖ μ   4. βδελύττεσθαι M: βδελύττεται μ   ἐργαστηρίῳ M: εργαστηρίω μ   8. ἐξέσται ἔγραψα: ἐξέσθαι Mμ   10. τοῦ M: λείπει μ   11. ὡς μ: ὦ M   11-12. πλεονεξίαν M: πλεξίαν μ   13. οὐκοῦν M: οὐκ οὖν μ   μὲν M: λείπει μ   14. ἐστὶ M: ἔστι μ   15. τὸ M: τῷ μ   προςεπιρρίπτεις M: περιρίπτης μ   17. προςτίθεις ἔγραψα: προστιθεὶς M: προτιθεὶς μ   τι ἔγραψα: τί Mμ   19. σωρεύσεις M: σωρεύσεις μ   21. ἀγαθῷ M: ἀγαθὸν μ   22. τῶν κακῶς M: τὸ κακὸν μ   23. μάλιστα M: μάλλιστα μ   24. ἐνάτην ἔγραψα: ἐννάτην Mμ   εἰς δυσμὰς M: δυσμὰς μ   25. παρατενεῖς M: παρατενεὶς μ   καὶ μ: λείπει M   παρ' M: παρ μ   26. σὺ M: σὺ δὲ μ

πλεονεξίαν ἐπαινουμένην. Πάλιν, εἰ, πολλῶν ἀπεχομένων ἐμψύχου
βορᾶς καὶ πόματος οἰνηροῦ, αὐτὸς ἄπυρον πάντη καὶ ἄνοψον ἠγάπη-
σας τράπεζαν καὶ κατὰ τὴν δαυιτικὴν οἰνοχοευτικὴν τῷ ὑδαρεῖ ποτῷ
καὶ κλαυθμὸν παρενέχεας, πολλῷ τῷ ὑπερβάλλοντι τοὺς ἐγκρατεῖς
συμπότας παρήλασας. Εἰ δὲ, τῶν συνευχομένων ἀφοσιουμένων ὀρθο-
στάδην τὸ εὔχεσθαι, σὺ γόνατα θαμινώτερον κάμπτεις καὶ τῷ δα-
πέδῳ προσερειδεῖς χεῖρας καὶ μέτωπα, ἴσθι παρὰ τοσοῦτον πολυτιμο-
τέραν ὁλκὴν προσευχῆς ἑαυτῷ σταθμώμενος παρ' ὅσον καὶ πλάστιγξ
βαρυτέρα δήπου τῆς ὑψοῦ φερομένης ἡ τῇ γῇ προσιζάνουσα, ὡς καὶ
τῆς μετεωριζομένης παρὰ κουφολογίας φαρισαϊκῆς ἐμβριθεστέρα πολλῷ
ἡ τελωνικὴ τε καὶ κάτω νευστάζουσα. Ἐπὶ τούτοις, εἰ φθάνων προ-
τερεῖς τῶν συρρεόντων εἰς τοὺς οἴκους τῆς προσευχῆς, εἰ προσεδρεύων
ὑστερίζεις τῶν ἐξιόντων ἢ τὸν νοῦν προσέχεις μόνοις ὕμνοις καὶ ἀνα-
γνώσμασιν, ἄλλων καταφλυαρούντων καὶ βόμβοις ἀγοραίοις τὰ θεῖα
ὑπερηχούντων ᾄσματα, κἀνταῦθα τὸ πλέον ἔχων ἀπῆλθες ἐν προσευχῇ,
μάλιστα δ' ἐν ταῖς φιλανθρώποις τῶν ὑπαρχόντων μεταδόσεσιν ὅσον
πλεονεκτικώτερος, εἰ βούλοιο, γένοιο, ὡς φέρε εἰπεῖν τοῦ μὲν πρὸς
ἐπίδειξιν ἐλεοῦντος αὐτὸς μὴ σαλπίζων τὸν ἔλεον, ἀλλ' ὑποτείνων
κρυφαίαν δεξιὰν καὶ λανθάνουσαν τὴν εὐώνυμον, τοῦ δὲ γογγυστοῦ
δότου καὶ φειδωλοῦ ἐν ἱλαρότητι ἐλεῶν καὶ σὺν ἐλευθεριότητι. Πλεο-
νάζοις δ' ἂν πολλῶν ἐν πολλοῖς καὶ μακρότερα, εἰ μὴ μόνον ἐν τῷ

1. ἀπεχομένων Μ: ἀπερχομένων μ   2. ἄπυρον Μ: ἄπειρον μ
3. δαυιτικὴν οἰνοχοευτικὴν Μ: δαβιτικὴν οἰνοχευτικὴν μ   ὑδαρεῖ Μ:
ὑδαρεὶ μ   5. ἀφοσιουμένων Μ: ἀφουσιωμένων μ   6. θαμινώτερον Μ:
θαμινότερον μ   κάμπτεις Μ: κάμπτης μ   7. μέτωπα Μ: μέτοπα μ
πολυτιμοτέραν Μ: πολυτιμωτέραν μ   8. σταθμώμενος Μ: σταθ-
μούμενος μ   παρ' ὅσον ἔγραψα: παρὸσον μ: παρόσον Μ   πλάστιγξ
βαρυτέρα Μ: πλάστιξ βαρυτέραν μ   9. ἡ τῇ γῇ προσιζάνουσα Μ: λείκου-
σι μ   10. παρὰ κουφολογίας Μ: παρακουφολογίας μ   φαρισαϊκῆς μ
φαρισσαϊκῆς Μ   ἐμβριθεστέρα Μ: ἐμβρυθεστέρα μ   11. τε καὶ Μ:
τε μ   12. εἰ Μ: εἰς μ   13. ἐξιόντων Μ: ἀξιόντων μ   ὕμνοις Μ:
ὕμνους μ   13-14. ἀναγνώσμασιν Μ: ἀναγνώσμασι μ   14. ἀγοραίοις Μ:
ἀγορίοις μ   θεῖα Μ: θεία μ   15. κἀνταῦθα Μ: κἂνταῦθα μ   16. μά-
λιστα Μ: μάλλιςα μ   17. πλεονεκτικώτερος Μ: πλεονεκτώτερος μ
τοῦ Μ: τοὺς μ   πρὸς Μ: εἰς μ   19 - 20. γογγυστοῦ δότου Μ: γογγυ-
στοῦ τούτου μ   20. καὶ σὺν ἔγραψα: καὶ σὺ μ: σὺ καὶ Μ:   ἐλευθεριό-
τητι Μ: ἐλευθερώτητι μ   20-21. πλεονάζοις Μ: πλεονάζοις κατὰ διόρ-
θωσιν τοῦ τὸ πρῶτον γραφέντος πλεωνάζεις μ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. Γ. Α. της Κ. Τ. Ι. ΙΩΑΝΝΙΝΑ 2006

καιρῷ τῆς νηστείας ἐκκλίνεις ἀπὸ κακοῦ καὶ ποιεῖς ἀγαθόν, ἀλλὰ ταῦτὰ κατορθοῖς καὶ εἰς ἔπειτα καὶ διαφέρεις τῶν πολλῶν καὶ κυνηδὸν ἐπανιόντων ἐπὶ τὸν ἴδιον ἔμετον καὶ μηδὲν ἀποναμένων τῆς προτέρας ἀποχῆς τοῦ κακοῦ. Βαπτιζόμενος γάρ φησιν ἀπὸ νεκροῦ καὶ πάλιν ἁπτόμενος αὐτοῦ τί ὠφέλησεν ἐν τῷ λουτρῷ αὐτοῦ; Οὕτως ἄνθρωπος νηστεύων ἐπὶ ταῖς ἁμαρτίαις αὐτοῦ καὶ πάλιν πορευόμενος καὶ τὰ αὐτὰ ποιῶν, τῆς προσευχῆς αὐτοῦ τίς εἰσακούσεται καὶ τί ὠφέλησεν ἐν τῷ ταπεινωθῆναι; Ἔγνωτε, ἀδελφοί, ὅπως ἔξεστι τοῖς τε κακῶς πλεονεκτοῦσι μεταθεῖναι τὴν τοῦ πλείονος ἔφεσιν εἰς τὰ ὄντως ἐφετὰ καὶ τοῖς μειονεκτοῦσιν ἀντιπλεονεκτεῖν τρόπον ἐπαινούμενον ἕτερον. Οὐκοῦν ἐπὶ τὰ οὕτως ἐπαινετὰ καὶ ὄντως κτητὰ πλεονάζειν ἀλλήλων ἀντιφιλοτιμώμεθα, ἃ καὶ μεταταξαμένοις ἐνθένδε ὡς γνησίοις δεσπόταις παρέπονται, ὡς τῶν γε ἄλλων οὐδὲν ἐξενεγκεῖν τοῦ κόσμου τοῦδε δυνάμεθα ὅτι μηδ' εἰςηνέγκαμέν τι ἐς αὐτόν. Γυμνοὶ γὰρ ἐξήλθομεν, γυμνοὶ καὶ ἀπελευσόμεθα. Ναί, οὕτω τῆς τραπέζης τοῦ ἡλίου τῆς δικαιοσύνης ὀναίμεθα, οὕτω καὶ τῶν μελλόντων ἀπολαύσαιμεν ἀγαθῶν, ἵλεω τυχόντες τοῦ Κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ κράτος καὶ δόξα αἰώνιος, ἀμήν.

---

2. ταὐτὰ ἔγραψα: ταυτὰ Μ: ταῦτα μ κατορθοῖς Μ: κατορθεῖς μ εἰς ἔπειτα Μ: εἰςέπειτα μ 3. μηδὲν Μ: μήδὲν μ 5. ὠφέλησεν Μ: ὠφελήσειν μ 8. ἔξεστι Μ: ἔξεστιν μ 9. εἰς Μ: λείπει μ 10. μειονεκτοῦσιν Μ: σημεῖον (ἐκ τοῦ σημείοις) ἐκτοῦσιν μ 12. ἀντιφιλοτιμώμεθα μ: ἀντιφιλοτιμούμεθα μ μεταταξαμένοις Μ: μετάταξαμένοις μ 13. παρέπονται Μ: παραπέμπονται μ 14. μηδ' ἔγραψα: μήδ' Μμ εἰςηνέγκαμεν ἔγραψα: εἰςενέγκαμεν μ: εἰςένέγκαμέν Μ τι Μ: τι κατὰ διόρθωσιν τοῦ τὸ πρῶτον γραφέντος τει μ 15. ἐξήλθομεν μ: ἐξήλθομεν μ